DEUTSCHE AKADEMIE DER WISSENSCHAFTEN ZU BERLIN
ZENTRALINSTITUT
FÜR ALTE GESCHICHTE UND ARCHÄOLOGIE

BIBLIOTHECA
SCRIPTORVM GRAECORVM ET ROMANORVM
TEVBNERIANA



BSB B. G. TEUBNER VERLAGSGESELLSCHAFT
1972

ARETHAE
ARCHIEPISCOPI CAESARIENSIS
SCRIPTA MINORA

VOL. II

RECENSVIT

L. G. WESTERINK

ACCEDVNT

NICETAE PAPHLAGONIS EPISTVLAE



BSB B. G. TEUBNER VERLAGSGESELLSCHAFT
1972

BIBLIOTHECAE TEVBNERIANAE
HVIVS TEMPORIS
REDACTOR: GÜNTHER CHRISTIAN HANSEN

VLN 294/375 /82/72 · ES 7 M
1. AUFLAGE

PRINTED IN THE GERMAN DEMOCRATIC REPUBLIC
GESAMTHERSTELLUNG
VEB WERKDRUCK GRÄFENHAINICHEN

HOC VOLVMINE CONTINENTVR

HOC VOLVMINE CONTINENTVR

PRAEFATIO

I. DE OPVSCVLIS HOC VOLVMINE COMPREHENSIS

Cum in priore volumine Arethae opusculorum corpus Mosquense ediderimus, nunc subiungimus quae restant per alios codices sparsa. sunt pleraque ex codice Marciano gr. 524 Z., quaedam ex codice in monasterio Cosinitsae olim asservato, tria epigrammata Anthologiae Palatinae, laudatio Euthymii Latine tantum nota ex editione Lipomani. pauca admodum de his habemus quae praefemur.

1. Opuscula 57–73 post Jenkins Laourdas Mango edimus ad fidem Marciani gr. 524 Z., quem accurate descripsit Sp. P. Lambros, *Ὁ Μαρκιανὸς κῶδιξ* 524, *Νέος Ἑλληνομνήμων* 8, 1911, 1–59; 123–192. est codex miscellaneus s. XIII ex., ff. 292, e diversis fragmentis confectus, variis manibus scriptus, cuius ff. 121–152 haec 17 opuscula Arethae tradunt. desinit haec pars mutila in fine f. 152, quaternionis vero $\bar{\delta}$; ergo aut non absolverat scriba opus aut antequam compaginatus est liber cetera amissa sunt. ut permulti codices illius aetatis, hic quoque scriptus est manu viri docti semper festinantis, raro errantis. nomen auctoris deest, Arethae restituit Kougeas[1]). V

Marciano usus est scriba codicis Ottoboniani gr. 147, s. XVII, ff. 154 (Feron-Battaglini pp. 82–83), qui ff. 132^{r}–141^{v} Op. 57 et 60 exhibet, ff. 142^{r}–146^{v} duos Pselli tractatus ex eodem Marciano descriptos.

2. Opuscula 74–78 praebemus ex editione quam A. Papadopulos-Kerameus a. 1909 confecit, libro manuscripto usus qui tum Dramae erat in monasterio Cosi- C

---

1) *Ὁ Καισαρείας Ἀρέθας καὶ τὸ ἔργον αὐτοῦ, ἐν Ἀθήναις* 1913, 33–35.

phoenissae (Cosinitsae), primo bello mundiali inde cum ceteris codicibus sublatus ex eo nusquam apparuit[1]). de codice haec profert Papadopulos-Kerameus p. XXII:

Cosinitsae cod. 1, chart. a. 1686, ff. 590 (0.43×0.30), corio rubro opertus; textus modo una modo duabus columnis scriptus. continet:

f. 3 (?) Matthaei Blastaris Syntagma;

f. 302 Ioannis Nesteutae canonica quaedam;

f. 304 Canones cum commentario Ioannis Zonarae; tum varia canonica (ex. gr. *περὶ μεταθέσεων,* tractatus Balsamonis et al.); sunt omnino 70 capita numeris notata, inter quae ff. 352v–355 Arethae opuscula 74, 75, 76, 71, 77, 31, 78[2]).

Notae ad originem et fata codicis pertinentes: in folio integumento agglutinato *͵αωιε΄ Ἀπριλλίου η΄. ἡ παροῦσα βίβλος ἀφιερώθη παρὰ τῆς ἡμῶν ταπεινότητος εἰς τὴν ἱερὰν μονὴν τῆς ὑπεραγίας ἡμῶν Θεοτόκου τῆς Κοσινίτζης: καὶ ἀποφαινόμεθα.* – + *Ὁ Δράμας Παρθένιος.* – f. 1r *Διονυσίου πατριάρχου Κωνσταντινουπόλεως προτροπῇ ἐγράφη παρὰ τοῦ μεγάλου σακελλαρίου τῆς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας κὺρ Ἰωάννου πρεσβυτέρου, ὑπάρχοντος ἑτέρου νομίμου παλαιοτάτου τῆς Παμμακαρίστου, ͵αχπς΄, ὀκτωβρίου κς΄, ἰνδικτιῶνος ι΄.* (m. Dionysii). – (inf.) *͵αψιβ΄* + *Ὁ Φιλιππουπόλεως Καλλίνικος, ὃς καὶ δευτερεύων τοῦ ἀνωτέρου κὺρ Διονυσίου πατριάρχου ἐχρημάτισεν ἐπὶ τῆς ε΄ πατριαρχείας αὐτοῦ.* (m. Callinici). – f. 2r inf. (partim evan.) *͵αψκς΄ . . . τὴν παροῦσαν βίβλον παρὰ τῶν κληρονόμων τοῦ μακαρίτου . . .* – f. 2v *Ἐπριάμην τὴν παροῦσαν ἱερὰν βίβλον παρὰ τοῦ ἄρχοντος κομίσου κυρίτζη Ἰωαννάκη Ῥωσσέτου εἰς χρῆσιν ἐμήν τε καὶ τῶν φίλων. ͵αψοαῳ Ὀκτωβρίῳ.* – f. 547 *Ἀντεγράφη τὸ παρὸν ἀπὸ παλαιοῦ τῆς Μεγάλης τοῦ Χριστοῦ Ἐκκλησίας, προστεθέντων αὐτῷ καὶ τῶν βασιλικῶν νεαρῶν, ἐπιταγῇ καὶ δαπάνῃ τοῦ παναγιωτάτου καὶ λογιωτάτου ἡμῶν αὐθέντου καὶ δεσπότου, τοῦ οἰκουμενικοῦ πατριάρχου κυρίου Διονυσίου τοῦ Βυζαντίου, διαφερόντως ἀγαλλομένου νεουργή-*

---

1) M. Richard, Répertoire des bibliothèques et des catalogues des manuscrits grecs, Paris 1958, p. 87.

2) Numeris *ιζ΄–κδ΄* designari dicit Papadopulos-Kerameus.

μασι καλλιεργείαις τε καὶ ἀνακαινίσμασι τῶν ἀμαυρωθέντων χρονικῇ παρατάσει βιβλίων ἱερῶν καὶ λοιπῶν ἐκκλησιαστικῶν πραγμάτων· συναπαρτισθὲν ἐξ ὁλοκλήρου διὰ χειρὸς ἐμοῦ Ἰωάννου ἱερέως καὶ μεγάλου σακελλαρίου τῆς Μεγάλης τοῦ Χριστοῦ Ἐκκλησίας, τοῦ Βυζαντίου, ἐν ἔτει ͵αχπςᵠ μηνὸς ὀκτωμβρίου κς' ἰνδικτιῶνος ῑης. — ib. + *Φιλιππουπόλεως Καλλινίκου Ναξίου μέμνησθέ μου οἱ μετ' ἐμὲ ἀδελφοὶ διὰ τὸν κύριον ἐντυγχάνοντες τῷ παρόντι: — τοῦ ἤδη εἰς Ἡράκλειαν ἐλέῳ Θεοῦ μετατεθέντος*. (m. Callinici).

Cum codex praesto non esset, textum editionis ut potui emendavi. qui textum e vetustiore exemplari transcripsit Ioannes presbyter scripturae compendia saepe expedire non potuit, et praesertim identidem *-ῶν* pro *-εῖν* scripsit. orthographiam et plurima alia iam correxerat Papadopulos-Kerameus.

3. Opuscula 79–81: tria epigrammata Anthologiae Palatinae ex codice Parisino suppl. gr. 384 (f. 40r–v)[1]). revocavi quasdam lectiones a Iacobsio et Boissonadio ad normam nimis strictam exactas. in orthographia nonuumquam contra metrum peccat: p. 137,10 *δάμασσε*, p. 137,12 *ἔσχε*, p. 139,3 *συμπαθείης*, p. 139,10 *φιλοπτωχίης*, p. 139,11 *σῆμα*. P

4. De Opusculo 82, Graece deperdito, ab Aloysio Lipomano typis edito a. 1554, vide quae dixi in Praef. vol. I, p. XIX. Lip.

Appendicis loco addidi ex codice Barocciano gr. 131 s. XIV (ff. 176v–177r)[2]) epistulam protothroni (Opusculum 83), quem Aretham esse Lambro et Diekamp non sine dubitatione quadam assentior; de qua re vide argumentum meum. iudicet porro ipse lector. B

Contra vero orationem de pace cum Bulgaris facta a F. Uspenskij editam, quam M. Šangin Arethae vindi-

1) Cf. Anthologiae Palatinae codex Palatinus et codex Parisinus phototypice editi, praefatus est C. Preisendanz, pars prior, Lugd. Bat. 1911, XXV–XXIX.

2) H. O. Coxe, Catalogi codicum mss. bibliothecae Bodleianae, I, Oxonii 1853, 217. vide quae addidi Byzantinische Zeitschrift 60, 1967, 1–2.

cabat [1]), sciens omisi, cum in ea nihil quod Arethae proprium sit agnoscam.

In altera appendice subieci epistulas Nicetae Paphlagonis, quarum duae ad Aretham ipsum datae sunt, duae cum eius opusculis artissimo vinculo coniunguntur. Opuscula 86 et 87 Nicetae restituerunt Lambros et Kougeas [2]); quibus Opuscula 84 et 85 inter Nicolai patriarchae epistulas servata adiunxit R. J. H. Jenkins [3]). **W** quattuor has habet solus codex Vindobonensis phil. gr. 342 s. XI [4]), liber multis mendis deformatus, quorum maximam partem iam correxerat Lambros. codicem non sine fructu denuo contuli, paucas coniecturas de meo addidi. in corrigendis terminationibus vocabulorum, praecipue participiorum, multum diuque dubitavi an Nicetae ea essent Arethae licentiam prave imitantis, cum in ceteris epistulis codicis **W** talia perraro inveniantur; malui tamen cum Lambro corrigere quae etiam *κακοζηλίας* terminos transeant. denique, ne quid deesset, addidi eiusdem epistulam ad Arsenium abbatem a Chr. Loparev ex codice **Z** Patmensi 178 s. XI prolatam (Opusculum 88), quamquam nullo satis certo indicio probatur eam ad rem tetragamicam pertinere.

---

1) Ф. Успенский, Неизданное церковное слово о болгарско-византийских отношениях в первой половине X. в., Летопись Историко-филологического общества при Новороссийском университете, т. 4, 48–123 (etiam separatim Odessae 1894); М. Шангин, Византийский писатель Арефа – автор „Слова о мире с Болгарами 927 года“, Историк Марксист 3, 1939, 177; Nicetae Magistri esse censet J. Darrouzès, Inventaire des épistoliers byzantins du Xe siècle, Revue des Études Byzantines 18, 1960, 123–126; Theodori vero Daphnopatae I. Dujčev (G. Moravcsik, Byzantinoturcica I^2, Berlin 1958, 223) et R. J. H. Jenkins, The Peace with Bulgaria (927) celebrated by Theodore Daphnopates, Polychronion, Festschrift F. Dölger, Heidelberg 1966, 287–303.

2) Vide infra in tabula editionum.

3) R. J. H. Jenkins, Three documents concerning the "Tetragamy", Dumbarton Oaks Papers 16, 1962, 231–232.

4) Descripserunt Sp. Lambros, *Νέος Ἑλληνομνήμων* 19, 1925, 12–29, et H. Hunger, Katalog der griechischen Handschriften der Österreichischen Nationalbibliothek, I, Wien 1961, 435–437.

II. DE CETERIS ARETHAE SCRIPTIS

Arethae scripta in haec duo volumina non recepta hic breviter recensebo. ex quo Kougeas librum suum praeclarum edidit ante hos quinquaginta fere annos, perpauca inventa sunt, haud ita multa aut primum typis expressa aut accuratius recognita[1]).

1. Commentarium in Apocalypsin, quod Andreae praedecessoris sui in sede Caesariensi opus retractans composuit, edidit J. A. Cramer, Catenae in Novum Testamentum 8, Oxonii 1840, 176—496; iteravit Migne PG 106, 1863, 500—785. cf. J. Schmid, Untersuchungen zur Geschichte des griechischen Apokalypsetextes, I. Der Apokalypsetext des Arethas von Kaisareia und einiger anderer jüngerer Gruppen, Byz.-Neugr. Jahrbücher, Beiheft 17, Athen 1936; id., Die handschriftliche Überlieferung des Apokalypse-Kommentars des Arethas von Kaisareia, Byz.-Neugr. Jahrbücher 16, 1939—1943, 72—81.

2. Catenis Graecis in S. Scripturam notas aliquot suas addidit Arethas et nomine signavit; quas percensent H. Lietzmann et G. Karo, Catenarum Graecarum catalogus, Nachrichten der kgl. Gesellschaft der Wissenschaften zu Göttingen 3, 1902, 1—66, 299—350. quae supersunt pertinent ad hos libros:

Psalmos: ineditae; cf. Lietzmann-Karo pp. 43, 47, 48, 53;

Proverbia: unam notulam (ad 1,20) ed. A. Mai, Nova Patrum Bibliotheca 7,2, p. 81; cf. M. Faulhaber, Hohelied-, Proverbien- und Prediger-Katenen, Würzburg 1902, p. 89;

Epistulas S. Pauli: ed. K. Staab, Pauluskommentare aus der griechischen Kirche, Münster i. W. 1933, pp. 653—661; cf. ib. p. XLVII;

Epistulas catholicas: unam notam indicant Lietzmann-Karo p. 597, ignoravit K. Staab, Die griechischen

1) Cf. E. Zardini, Sulla biblioteca dell'arcivescovo Areta di Cesarea, Akten des XI. Internationalen Byzantinistenkongresses, München 1960, 671—678.

Katenen-Kommentare zu den Katholischen Briefen, Biblica 5, 1924, 296–353.

3. Scholia in complures scriptores cum classicos tum ecclesiasticos ab Aretha in marginibus codicum suorum adscripta, partim in his ipsis codicibus, partim per apographa ad nos pervenerunt. eorum quam partem e vetustioribus libris transtulerit Arethas, quid ipse contribuerit, quid postea accreverit, saepe diiudicari non potest. auctores et libri quos ab Aretha annotatos esse aut constat aut verisimile est, hi sunt:

Abucara, Ps.-Iustinus, Cyrillus contra Theodoretum, Nicephori chronicum, Photii Amphilochia (in libro Arethae Mosquensi Mus. Hist. gr. 394 [231 Vlad.]; folia 18 ex eo a Matthaei abscissa, olim cod. Dresd. 12 Da., nunc Mosquae in Archivo Publico asservantur; scholia in Cyrillum et Theodoretum ed. E. Schwartz, Acta Concil. Oecum. I 1,6, Berol.-Lips. 1928, pp. 112–143, cf. pp. II–III; cetera transcripsi propediem editurus; v. etiam Kougeas 43, 45, 47, 58–59);

Albinus, Prolegomena philosophiae Platonicae, Hierocles (edd. L. G. Westerink et B. Laourdas, Scholia by Arethas in Vindob. phil. gr. 314, *Ἑλληνικά* 17, 1960, 105–131);

Antoninus (scholia ed. H. Schenkl, Marci Antonini imp. in semet ipsum libri XII, Lipsiae 1913, 160–161; cf. A. Sonny, Zur Überlieferungsgeschichte von M. Aurelius *Εἰς ἑαυτόν*, Philologus 54, 1895, 181–183; rarissima, et utrum Arethae, prorsus incertum);

Apologetae (in libro Arethae Paris. gr. 451; scholia in Clementis Protrepticum et Paedagogum ed. O. Stählin, Clemens Alexandrinus I, Leipzig 1905, 293–340; in Iustini martyris Epistulam ad Zenam et Cohortationem ad gentiles partim ed. J. C. T. de Otto, Corpus Apologetarum III, Ienae 1879, 105–107; IV, 1880, 86sq.; in Eusebii Praeparationem Evangelicam ed. K. Mras, Eusebius VIII, Berlin 1956, 427–430; in Athenagoram ed. O. von Gebhardt, Zur handschriftlichen Überlieferung

der griechischen Apologeten, Texte u. Unters. I 3, Leipzig 1883, 186–196; accedunt scholia in Tatianum in Paris. gr. 451 nunc non superstitem, quae ex Paris. gr. 174 ed. O. von Gebhardt apud E. Schwartz, Tatiani oratio ad Graecos, Texte u. Unters. IV, Leipzig 1888, 44–47);

Aristides (in libro Arethae Paris. gr. 2951 + Laur. 60, 3; scholiorum farraginem ed. Guil. Dindorf, Aelii Aristidis orationes, III, Lipsiae 1829; cf. Fr. Lenz, Untersuchungen zu den Aristeidesscholien, Berlin 1934, 57–84);

Dio Chrysostomus (ex codice Vat. Urb. gr. 124, s. XI, ed. A. Sonny, Ad Dionem Chrysostomum analecta, Kioviae 1896, 83–130);

Euclides (in Arethae libro Bodl. Dorvill. X, 1 inf. 2, 30; ed. J. Heiberg, Euclidis opera V, Lipsiae 1888, 361–362; 708; 719; 722; cf. pp. XXVII–XXIX);

Eunapius (*Στηλιτευτικὸς κατὰ Εὐναπίου* in Excerptis de sententiis, Eunap. 24; ed. U. P. Boissevain, Excerpta historica iussu imp. Constantini Porphyrogeniti confecta, IV, Berolini 1906, 81, 16–82, 3; Arethae recte tribuit J. Compernass, Studi bizantini 7, 1935, 119–120);

Lucianus (pars in Arethae libro Harl. 5694, pars in apographis; ed. H. Rabe, Scholia in Lucianum, Lipsiae 1906);

Nomocanon XIV titulorum (in Arethae libro Vallic. gr. 79 [F 10]; ed. V. N. Beneševič in appendice Nomocanonis, Petropoli 1905; cf. S. B. Kougeas, *Νέος κῶδιξ τοῦ Ἀρέθα*, *Ἐπετηρὶς Παρνασσοῦ* 10, 1914, 106–116);

Pausanias (ed. F. Spiro, III, Lipsiae 1903, 218–222; cf. vol. I, 1903, p. VIII; A. Diller, Pausanias in the Middle Ages, Transactions of the American Philological Association 87, 1956, 84–97);

Philostratus (scholia in Vitam Apollonii ex codice Laur. 69, 33, s. XI, ed. C. L. Kayser, Flavii Philostrati quae supersunt, Turici [1849], pp. 177–198; corrigenda et addenda pp. 79–80; Arethae reddidit A. Sonny, Zur Jandschriftlichen Überlieferung des Dion Chrysostomos, hahrbücher f. klass. Philologie 133, 1886, 95 n. 2);

Photius (marginalia in Epistulas et Amphilochia edidit, partim Arethae vindicavit B. Laourdas, *Τὰ εἰς τὰς ἐπιστολὰς τοῦ Φωτίου σχόλια τοῦ κώδικος* Baroccianus graecus 217, *Ἀθηνᾶ* 55, 1951, 125–154, et *Τὰ εἰς τὰ „Ἀμφιλόχια" τοῦ Φωτίου σχόλια τοῦ κώδικος* 449 *τῆς Λαύρας*, *Ἑλληνικά* 12, 1953, 252–272);

Plato (ex Arethae libro Bodl. Clark. 39 ed. Guil. Ch. Greene, Scholia Platonica, Haverfordiae 1938, 415–480);

Strabo (scholia ed. A. Diller, The Scholia on Strabo, Traditio 10, 1954, 29–50; paucissima quaedam ab Aretha originem ducere posse ostendit pp. 43–44).

Praeterea scholia in Epicteti Dissertationes [1]) et Porphyrii Vitam Pythagorae [2]) in Bodl. Misc. gr. 251 servata nec non quae in Olympiodori commentarios Platonicos habet Marc. gr. 196 Z. [3]), Arethae esse suspicatus est Sonny [4]). de Olympiodoreis rectius iudicavit H. Arts, qui et haec scholia et alia proxime accedentia diligenter examinavit [5]); de Epicteto et Porphyrio iure dubitaverunt ipse Sonny et Kougeas (p. 44); mihi quidem ab Arethae indole, genere scribendi, opinionibus plane videntur abhorrere. his propter similitudinem adiungere possis scholia in Porphyrii libros de abstinentia in Vat. gr. 325, s. XIV, quorum potissima codicibus recentioribus usus edidit

1) Ed. H. Schenkl, Epicteti Dissertationes, ed. maior², Lipsiae 1916, LXXI–LXXXIV.

2) A. Nauck, Porphyrii opuscula selecta², Lipsiae 1886, pp. 29, 31–33, 38, 42, 49.

3) W. Norvin, Olympiodori in Platonis Phaedonem commentarii, Lipsiae 1913; L. G. Westerink, Olympiodorus, Commentary on the First Alcibiades of Plato, Amsterdam 1956; id., Olympiodori in Platonis Gorgiam commentaria, Lipsiae 1970.

4) A. Sonny, Ad Dionem Chrysostomum analecta, Kioviae 1896, p. 93, n. 2.

5) H. Arts, De scholiën op vijf Griekse filosofen, Plato, Plotinus, Olympiodorus, Ammonius en Proclus (diss. lic. Leovaniensis 1962); quod commentationem ineditam inspicere potui debeo comitati E. de Strycker. eiusdem viri docti qui Olympiodorum annotavit sunt etiam notulae in Paradoxographos Palat. gr. 398, quas Arethae dubitanter tribuebat K. Latte, Hesychii Alexandrini Lexicon, I, Hauniae 1953, XIX–XX (ed. O. Keller, Rerum naturalium scriptores Graeci minores, I, Lipsiae 1877).

Nauck[1]). nimius in tota hac re fuit J. Compernass, qui etiam in scholiis in Aeschinem[2]), Iamblichum, Hesiodum, Herodotum, Diophantum[3]), Thucydidem[4]) manum Arethae agnoscere sibi visus est.

4. Epigrammata quaedam anonyma inter haec scholia obvia, quae E. Maass[5]) et Kougeas (p. 95) Arethae esse crediderunt, separatim consideranda sunt.

Duo epigrammata in Euclidem praebet Arethae codex Bodleianus, edidit Heiberg op. cit. pp. XXVII–XXIX. de altero, quod post duplicem subscriptionem addidit Arethas f. 397v, vix dubito quin ipsius sit, quaesitam eius inelegantiam, frequentiam versuum spondiacorum, denique ipsa verba cum epigrammatis in Anthologia servatis (Opp. 79–81) comparans:

Εὐκλείδης νόον ὀξὺν ἀειζώοις γραμμαῖσι
πάντα τε (in ras.) *ἀτρεκέως ἐξερέεινε βροτοῖς*
ὁππόσα μήσατο τηλεθόωσα φύσις συμβαίνειν
σχήμασιν ἠδ' ὄγκοις, θειμέλιόν γε τόδε
πάσης μὲν τεκτηνάμενος σοφίης, κόσμῳ δὲ
παντὶ ἑῆς προλιπὼν σύμβολον εὐμαθίης[6]).

alterum nitidius et concisius quod f. 5v et ipsum Arethae manu scriptum extat, ex archetypo petitum esse potius crediderim:

Εὐκλείδης μέτρων ἀψευδέας εὗρε κελεύθους
γραμμῇ καὶ κέντρῳ κύκλον ἐρεισάμενος.

obversabantur animo poetae, quisquis fuit, Pauli Silentiarii versiculi in horologium (Anthol. Pal. 9, 782, 3–4):

ὕδασι δ' ἠελίοιο ταλαντεύουσι κελεύθους
ἐς πόλον ἐκ γαίης μῆτιν ἐρεισάμενοι.

---

1) Op. cit. pp. 109, 115, 119, 137, 146, 147, 165, 176, 177. 181, 213, 232, 235, 250, 251.
2) Didaskaleion 1, 1912, 307–308.
3) Ib. 2, 1913, 98–99.
4) Studi bizantini 3, 1931, 36.
5) E. Maass, Observationes palaeographicae, Mélanges Graux, Paris 1884, 754.
6) Cf. p. 139,3: *Φεβρωνία ἑῆς σύμβολα συμπαθίης.*

M. Antonini libros 'In se ipsum' his versibus celebrant Anthol. Pal. (15,23) et Marci codex Vat. gr. 1950 f. 392^{v}:

Εἰς τὴν βίβλον Μάρκου
δακτυλικὰ τετράμετρα βραχυκατάληκτα
Εἰ λύπης κρατέειν ἐθέλεις,
τήνδε μάκαιραν ἀναπτύσσων
βίβλον ἐπέρχεο ἐνδυκέως·
ἧς ὕπο γνώμην ὀλβίστην
ῥεῖά κεν ὄψεαι ἐσσομένων
ὄντων τ' ἠδὲ παροιχομένων,
τερπωλήν τε ἀνίην τε
καπνοῦ μηδὲν ἀρειοτέρην.

ex Antonini codice vetustiore in Anthologiam transtulit scriba P^{J}, idem scilicet qui titulo Opusculi 79 notulam de Arethae episcopatu adiecit. primum versum tam similem esse initio ep. 85 Theophylacti Simocattae, ut aut hic epigramma aut auctor epigrammatis Theophylactum legisse debeat, iam animadvertit Schenkl[1]). de quibus omnibus adeunda est disputatio P. Maas, Das Epigramm auf Marcus *Εἰς ἑαυτόν* (Hermes 48, 1913, 295–299), qui dicit Graecos inde a saec. V nullo metro nisi hexametris elegis senariis anacreonteis usos esse, ergo epigramma saec. IV non posterius esse, se vero nihil videre cur non ipsi Antonino aequale aut paene aequale sit. id ita verum esse potest, si cum Maas in fine l. 7 ⟨*λέγων*⟩ vel ⟨*νόει*⟩ supplemus, ut et versus integer sit et singulorum versuum paroxytonesis servetur; sin autem consensum codicum Anthologiae et Antonini sequens hiatum (in priore *τε*, ut et in l. 3 *ἐπέρχεο*) et proparoxytonesin admittas, versificationis ratio posteriori aevo propius accedat; cf. epigramma prius in Euclidem l. 2. non tamen nego me argumento de usu metrorum nihil posse opponere.

Senarii in Clementem Alexandrinum quos cum scholiis edidit Stählin (pp. 339–340) ab Aretha abiudicandi sunt, cum et sermone et ratione metrica ab eius dodecasyllabis differant.

---

1) Berl. Philologische Wochenschrift 30, 1910, 487 n. 3.

5. Lexica plurima Aretham tractasse, possedisse, annotasse in aperto est, nullum tamen eius nomen praefert. corpus lexicorum Seguerianorum B codicis Paris. Coisl. gr. 345 partim eius iussu in brevius redactum esse, partim ex eius scholiis confectum, partim ipsius manu annotatum et auctum, haud spernendis rationibus nisus contendit Kougeas (pp. 64–72); idem arguit Aretham exemplari deperdito Etymologici genuini nonnulla de suo adiecisse, quae postea in Etymologicum magnum recepta sint (pp. 63–64). in archetypo codicum Pollucis additamenta quaedam Arethae extitisse opinatus est E. Bethe[1]); eidem nonnullas glossas in Hesychio nostro deberi putat K. Latte[2]).

6. Deperdita sunt Anacreontea quinque quae teste indice praevio olim continebat Barber. gr. 310 [246], s. X: *Ἀρέθα ἀρχιεπισκόπου, Εἰς Φώτιον τὸν πατριάρχην, Εἰς Λέοντα τὸν θεοφιλέστατον διάκονον καὶ σακελλάριον, Εἰς τὴν νέαν ἐκκλησίαν, Εἰς τὰ ἐγκαίνια τῆς αὐτῆς ἐκκλησίας, Εἰς τὰ Λέοντος τοῦ βασιλέως βρουμάλια*[3]). simili iactura perierunt epistulae quae in cod. Marciano gr. 524 Z. fol. 152 sequebantur. neque codicis Mosquensis gr. 315 archetypum integrum a Margunio transcriptum esse in praefatione vol. I (p. XX) ostendi. multa etiam alia quondam extitisse testatur Arethas in fine Op. 20 (circa a. 907): *εἰ γὰρ ἐθέλοι καὶ ταῦτα δαήμεναι καὶ τῶν εὐφημοτέρων ἡμῶν ἐπακοῦσαι, πλήρεις τοιούτων καρπῶν τῆς ἡμετέρας γλώσσης βίβλοι πολλαί, μαρτύρων θεοῦ ἐγκωμίων, ὁσίων ἐπαίνων, γραφῆς ἐνθέου ἀναπτύξεως, ἄλλων τε πλείστων σπουδαιοτάτων.*

Grates debentur Instituto Batavo Studiis Liberalibus Adiuvandis pro imaginibus codicum suppeditatis, et Michael Share, qui in indicibus conficiendis mihi adfuits.

---

1) Pollucis Onomasticon, Lipsiae 1900, pp. VI–VII.
2) Hesychii Alexandrini Lexicon, I, Hauniae 1953, pp. XVIII–XXII.
3) Matranga in A. Mai, Spicil. Rom. IV, Romae 1841, p. XXXII.

EDITIONES

Anthologia Graeca 15, 32–34: F. Jacobs, Anthologia Graeca ad fidem codicis olim Palatini nunc Parisini edita, vol. 2, Lipsiae 1814, 611–613; F. Dübner, Epigrammatum Anthologia Palatina cum Planudeis, vol. 2, Paris. 1864, 512–513 (cf. 525); W. R. Paton, The Greek Anthology, with an English Translation, vol. 5, London 1918, 138–141; H. Beckby, Anthologia Graeca, Buch XII–XVI . . . Griechisch–deutsch, München 1958, 282–285. **79–81.**

F. Diekamp, Analecta Patristica, Orientalia Christiana Analecta 117, 230–236. **83.**

R. J. H. Jenkins, B. Laourdas, Eight Letters of Arethas on the Fourth Marriage of Leo the Wise, *Ἑλληνικά* 14, 1956, 293–372. **66–73.**
Corr.: V. Laurent, Byz. Ztschr. 50, 1957, 209–210.

R. J. H. Jenkins, B. Laourdas, C. A. Mango, Nine Orations of Arethas from cod. Marc. gr. 524, Byz. Ztschr. 47, 1954, 1–40. **57–65.**
Corr.: J. Darrouzès, Byz. Ztschr. 48, 1955, 1–3.

P. Karlin-Hayter, Vita S. Euthymii, Appendix, Byzantion 25–27, 1955–1957 (ed. 1957), 747–778. **75**; **76.**

Sp. Lambros[1], *Ἀνώνυμος ἐπιστολὴ Νικήτα τοῦ Παφλαγόνος πρὸς Ἀρέθαν τὸν Καισαρείας, Νέος Ἑλληνομνήμων* 8, 1911, 301–314. **87.**

–[2], *Ἐπιστολὴ Ἀρέθα Καισαρείας πρὸς Κωνσταντῖνον τὸν Πορφυρογέννητον, Νέος Ἑλληνομνήμων* 13, 1916, 205–210. **83.**

–[3], *Ἐπιστολαὶ ἐκ τοῦ Βιενναίου κώδικος* Phil. gr. 342, *Νέος Ἑλληνομνήμων* 19, 1925, 139–191. **86.**

–[4], –, *Νέος Ἑλληνομνήμων* 21, 1927, 3–29. **84**; **85.**

A. Lipomanus, Vitae sanctorum priscorum patrum, III, Venetiis 1554, 100–102. **82.**

EDITIONES/VERSIONES

Хр. М. Лопарев, *Житие св. Евдокима*, *Известия Русского Археологического Института в Константинополе* 13, 1906, 180–181. **88.**

A. Papadopulos-Kerameus, Varia Graeca sacra, Petropoli 1909, 254–272. **74–76**; **71**; **77**; **31**; **78.**

VERSIONES

Anglicae:

Karlin-Hayter: **75**; **76**.
Anthologia Graeca, ed. Paton: **79–81.**

Germanica:

Anthologia Graeca, ed. Beckby: **79–81.**

Latina:

Anthologia Graeca, ed. Dübner: **79–81.**

SIGLA

V	Marcianus gr. 524, s. XIV
C	codex olim Cosinitsae chart. 1, a. 1686, teste Papadopulo-Kerameo
P	Parisinus suppl. gr. 384 (Anthologiae Graecae) s. X
B	Baroccianus gr. 131, s. XIII
W	Vindobonensis phil. gr. 342, s. XI
Z	Patmensis 178, s. XI
S	Sinaiticus 383, ff. 158^r–159^v, s. XIII
A	Ambrosianus I 9 sup., ff. 168^r–170^r. s, XII
O	Bodl. Misc. gr. 211 (Auct. T. 2.11), ff. 361^v–362^v, s. XV
Lip.	A. Lipomanus, Vitae sanctorum priscorum patrum, III, Venetiis 1554

Jk	Jenkins	Mn	Mango
Kh	Karlin-Hayter	Pk	Papadopulos-Kerameus
Lb	Lambros	Wk	Westerink
Ld	Laourdas		

⟨ ⟩	addenda
{ }	delenda
[ ]	supplenda in lacuna codicis
( )	compendia soluta (in marginalibus et in apparatu)
† †	corrupta
* *	lacuna in codice non indicata
≡	rasura unius litterae
ins.	inserit
s.l.	supra lineam
CAG	Commentaria in Aristotelem Graeca
CPG	Schneidewin/Leutsch, Corpus Paroemiographorum Graecorum
PG	Migne, Patrologia Graeca

Lauchert – F. Lauchert, Die Kanones der wichtigsten altkirchlichen Concilien, Freiburg i. Br./Leipzig 1896

Rhalles-Potles – *Σύνταγμα τῶν θείων καὶ ἱερῶν κανόνων . . . ἐκδ. ὑπὸ Γ. Α. Ῥάλλη καὶ Μ. Πότλη*, 6 voll., Athenis 1852–1859

57

Ἐκφώνησις Λέοντι τῷ εὐσεβεῖ βασιλεῖ ἐπὶ τῇ χειροτονίᾳ Νικολάου τοῦ ἁγιωτάτου πατριάρχου· ᾠκονόμηται δὲ ὡς ἀποσχεδιασθεῖσα 121r

Alloquitur Leonem VI imperatorem Nicolao Mystico ad patriarchatum provecto (d. 1 mart. 901). ex tot beneficiis in rem publicam collatis nullum profecto maius esse quam quod hunc hominem Dei ecclesiae ordinandae post tantas procellas praefecerit. proinde ne cunctetur Nicolaus munus sibi delatum strenue obire principis monitis confirmatus, qui ipse civibus multo turbulentioribus imperitet.

Οὔποτέ τινος καὶ ἄλλης κρείττονος, θεόληπτε βασιλεῦ, ηὐμοίρησε διὰ σοῦ τὸ ὑπήκοον θυμηδίας, αἷς ἡμῖν πολλαῖς καὶ ἀμυθήτοις ὅσαι σχεδὸν ἡμέραι ἐπιδαψιλεύεσθαι φιλοτιμῇ· ἀλλ᾽ οὖν οὐδέπω καὶ τήμερον, ὅσα ἐμὲ κρίνειν εἰδέναι, τηλικαύτης ἠξιώμεθα χάριτος, οὕτω τῷ καιρῷ προσφορωτάτης, οὕτω τοῖς λαμβάνουσιν εὐκταιοτάτης. τὸ γάρ τοι τὸν μέγαν τοῦτον καὶ ἀληθῶς τοῦ θεοῦ ἄνθρωπον, τὸν ἐραστὴν τῆς ἡσυχίας, τὸν σύντροφον τῆς ἐγκρατείας, τὸ ἀνάκτορον τῆς σεμνότητος, τὸ ἐνδιαίτημα τῆς ἀπραγμοσύνης, ἐν τούτῳ τῷ ἱλαστηρίῳ ἀνιερῶσαι ἡμῖν συμπροθυμηθῆναι καιρῷ καὶ ἀπάρξασθαι ἤδη τούτου θεῷ, ὅτε σεμνότης ἀνθρώποις ἐμπολιτεύεται, ὅτε γαλήνης ὁ βίος ἀνάμεστος, ὅτε τὸ ἐπιεικές τε καὶ ἄπραγμον ἅπας ἀσπάζεται, πῶς οὐ παντὸς προτιμότατον, πῶς οὐχὶ προσφορώτατον, πῶς οὐ καταλληλότατον;

57 V — Jk-Ld-Mn pp. 17—20 || **4** *Οὔποτε* Ld: *Υ'ποτε* **V** || **5** *πολλαῖς* Ld: *-οῖς* **V** || **7** *καὶ τήμερον*] i. e. *μέχρι κ. τ.*, cf. p. 85, 27; 129,4

Τὸ δὲ καὶ μετὰ τὸν πολὺν ἐκεῖνον καὶ αὐτῶν ἁψάμενον τῶν οὐρανῶν τάραχον, ὃς πάντα συγχέας τὰ καλὰ ἐξεκύμηνε, καὶ τὸν ἱερὸν τῷ ὄντι καὶ ἀκήρυκτον πόλεμον, ὃν οὐ διαπολεμήσας καταπαύεις αὐτός — τί γὰρ ἐχρῆν πολεμεῖν εἰρήνης θεραπευτάς τε καὶ διαγγέλους ἢ καταστασιάζειν ἀνθρώπους οἷς ἐπηρείαις βασκάνου τινὸς δαίμονος ἅπαξ κατασυρεῖσι τοῦ δέοντος οὐδὲν μὲν εἰρηναῖον ὠδίνετο καὶ γαλήνης, κράτος δὲ νίκης ἡ ἔρις νενόμιστο καὶ οὗτος ἠλέγχετο κατορθῶν ὃς ἄσπονδον τὴν ἔχθραν πρὸς τὸ ἀντίπαλον συνετήρει; — διὰ ταῦτα μὲν οὖν σὺ διὰ μάχης αὐτοῖς ἰέναι σοφόν τε καὶ δραστήριον κρίνας τῷ ἐναντιωτάτῳ μεταχειρίζῃ τὸ ἔργον ἀνυσιμώτατα. ὑπερβολῇ γὰρ συμπαθείας νόμῳ πειθόμενος θείῳ τὸ ἀντιπνέον ἅπαν νικήσας καὶ λόγοις εἰρήνης καὶ πράγμασι συνδήσας τὰ διεστῶτα καὶ οὔποτ' ἂν οὐδεμίαν ἑαυτοῖς ἀπολελοιπότα ἐλπίδα συμβάσεως, καὶ τρόπον ἄλλον (μικρὸν εἰκάσαι μεγάλῳ) ὃν καὶ θεὸς τῷ ἐμῷ ὑπὲρ λόγον ἐγκεκραμένος πραγματευσάμενος, — τὸ μετὰ ταῦτα οἷόν τι τῶν ἐξαιρέτων ἀγώνισμα καὶ τρόπαιον τῆς τοιαύτης ἐπάξιον νίκης τὸν ἱερὸν τοῦτον μεθεὶς ἡμῖν ἄνθρωπον ἀναστῆσαι φύλακα τῆς εἰρήνης σοφώτατον, κυβερνήτην τῶν καθ' ἡμᾶς προμηθέστατον, τοῦτο τίνων οὐκ εὐκταιότατον, τίνων τῶν εἰς χάριτος λόγον ἡκόντων οὐχὶ τερπνότατον; οὐδ' ὁ μακρὸς αἰὼν ἀμαυρώσει τὴν χάριν, οὐκ ἀπανθίσει τὴν ὥραν, οὐ λυμανεῖται τῇ δόξῃ.
121v καί μοι δοκῶ μὴ συντυχίᾳ τοῦτο συμβῆναι ἀλόγῳ, | ἣν ἔσθ' ὅτε καὶ τοῖς τυχοῦσι τεθεάμεθα σύνδρομον, ἀλλά γε δὴ κρείττονος τὸ πᾶν ἐπινοίας τε καὶ προνοίας ἀεὶ τὰ κρείττω μηχανωμένης τοῖς κρείττοσιν.

Ὅσα μὲν οὖν θεία προμήθεια τοῖς ὑμετέροις εἰς πάντα καιρὸν βουλεύμασι πάρεδρος, ὦ τῶν πώποτε βασιλέων θεοῦ προνοίας τε καὶ ἐπισκοπῆς μᾶλλον ἀνάπλεε, τὰς σὰς καὶ ἡμῶν ἐνεκόσμησε ψήφους, τοιαῦτά τε καὶ τοσαῦτα λόγος τε ὁ ἡμέτερος αἱρεῖ καί με τοῖς ἄλλοις τοῦ σοῦ

9 ἄσπονδον Ld: ἄσποδον V || 22 λόγον Wk: -ων V

κράτους δεῖγμα θεοσεβείας κηρῦξαι τὰ νῦν ἐκβεβίασται. σὺ δέ, ὦ ἱερὲ τοῦ θεοῦ ἄνθρωπε, τί φοβῇ τὴν ἐγχείρησιν; τί ἀναδύῃ πρὸς τὴν ἐπιστασίαν καὶ δυσανασχετεῖς τὸ διδόμενον; τί πρὸς τοῦτο ἐκλύῃ καὶ τὰς ἱερὰς ἀπαναίνῃ φροντίδας; ἢ βίος ἀργός σοι τοῦ ἐνεργοῦ προκριτέος; ἀλλ' οὐδὲ βοῦς ἐκεῖνος ἐπαινετέος, ὃς ἄνετον ὑποφαίνει ζυγοῦ καὶ ἁβρὸν τὸν αὐχένα, ἀλλ' ὃς τὸν νῶτον ῥικνός τε καὶ τετριμμένος ἀρότρῳ προσανέχων τὸ πᾶν τὴν ἀναγκαίαν ἐκπορίζει τῷ τρέφοντι. ἢ φθονεῖς σεαυτῷ τῶν διὰ ταῦτα στεφάνων; ἢ τῷ κρείττονι τοῦ βαθμοῦ ὑπεξίστασαι; ἢ τὸ ἄπορον δῆθεν τῆς τοιαύτης οἰκονομίας ἀποκναίει σοι τὸ βουλόμενον; οὐκ ἀσφαλεῖς οἱ λόγοι, αἱ κρίσεις ἐπίμωμοι. πονεῖν δεῖ τὸν ἀροτῆρα τῆς εὐσεβείας, στεφάνους ἀναδεῖσθαι οὐ χάριτος ἀλλὰ πόνων, μηδὲ τοῖς ἄλλοις, μή τί γε αὐτῷ, ἐμποδὼν τῆς σωτηρίας καθίστασθαι. πάντων ἐν πᾶσιν ὑπερανέστηκας, οὐκ ἄμουσον χρῆμα τῶν τοιούτων εὖ οἶδα σύ, οὐδ' ἐπισχεδιάζων τὴν χάριν καὶ τρόπων καινῶν ἀνευρίσκων κατάστασιν. ἔχεις οἷς κυβερνήσεις, οἷς ἀπευθυνεῖς πρὸς ὅρμον τοὺς πλωτῆρας καὶ ἐπηβόλους ἡμᾶς· πολλάς σε τῶν ἱερῶν κυβερνήσεις ἡ ἡλικιῶτις ἀρετὴ ἐδιδάξατο, πολλὰς τῶν ἡμετέρων οἰάκων μεταχειρίσεις, γαλήνης ζάλης, ἔαρος θέρους χειμῶνος· ἡ ἀκαταίσχυντός σου ἐλπὶς πρὸς θεὸν πολλῶν ἀγκυρῶν ἱερῶν ἀσφαλεστέρα, ἡ πρὸς αὐτὸν παρρησία ἱστίου παντὸς εὐπορώτερον τὸ ἱερὸν σκάφος ἀναπτερώσει, καὶ μάλισθ' ὅταν ταῖς ἁγνοτάταις ὑμῶν προσευχαῖς τὸ θεῖον ὡσπερεὶ κατὰ πρύμναν ἡμῶν ἵστηται πνεῦμα καὶ λειοκύμονα τοῦ βίου τὴν θάλασσαν ἀπεργάζηται, τὰ κατ' αὐτὸν εὐοδῶν ἡμῖν διαβήματα. μὴ δέδιθι τοίνυν μηδ' ἀγεννές τι πάθῃς καὶ τῆς μακρῷ τῷ χρόνῳ συναυξηθείσης σοι φιλοσοφίας ἀλλότριον, μηδὲν χαλεπὸν μηδὲ δύσκολον μηδὲ τῷ τοῦ φεύγοντος πάλαι προφήτου ἐνάμιλλον· ἐναφεθῆναί σε δεῖ τὸν ἐμὸν Ἰωνᾶν τῇ ἡμετέρᾳ

23 CPG I 256; II 118 || 28 cf. Ps. 118, 133 || 32–p. 4,2 Ionas 1, 15

7 νῶτον Ld: νότον V || 29 ἀγεννές Wk: ἀγγενές, -ν- ex -νν-, V || 31 τῷ Ld: τὸ V

θαλάττῃ, καταστορεσθῆναι διὰ σοῦ καὶ εἴ τι λοιπὸν ὑποφρίττον ἐξαφρίζει τοῦ κύματος, ὑποδεχθῆναι οὐχὶ κητῴᾳ γνάθῳ οὐδὲ γαστρὶ θηρίου, δυστυχῶν ναυαγίων σαγήνῃ,
122r *ἀλλ' ἐκκλησίας θεοῦ ζῶντος πληρώματι, κήρυκα | προβληθῆναι πόλει μεγίστῃ τῆς σωτηρίας, ὀφθαλμῷ τῆς οἰκουμένης, βασιλίδι τῶν ἁπασῶν πόλεων, εἰ καὶ μὴ κατὰ Νινευὴ τὴν ἀλλόφυλον, ἀλλ' οὖν καὶ αὐτῇ δεομένῃ τοῦ πρὸς τὸ βέλτιον ἐπανάγοντος, καὶ τοσούτῳ γε πλέον ὅσῳ καὶ φιλοσοφωτέρας ζωῆς ἐξηρτήμεθα. ὁρᾷς οἷ σε τὸ πνεῦμα προάγει τὸ ἅγιον· μὴ γάρ τοι τοῦτο νομίσῃς ἀνθρωπίνης ἔργον σπουδῆς· μίμησαι Παῦλον καὶ Βαρνάβαν τῇ περὶ τὰ παρόντα καλῇ προθυμίᾳ, ὧν οὐδενὸς ἀπολείπῃ τῆς κατὰ τὸν βίον σεμνότητος. ἐκάλει τὸ πνεῦμα διὰ τῶν προφητῶν αὐτοὺς εἰς διακονίαν· οὐδὲν ἀνεβάλλοντο, οὐδὲν ἐδυσχέραινον, καίτοι φονῶσιν ἀνθρώποις συμπλέκεσθαι μέλλοντες.*

Ταῦτά σε οὐκ ἀγνοοῦντα διδάσκομεν· μανίας γὰρ ἂν τὸ πρᾶγμα ἐγγύς, κἂν ἐπὶ νοῦν ποτὲ τοῦτο βαλέσθαι, καὶ ὅμοιόν τι δρᾶν κατειλῆφθαι τοῖς βασιλέας πλουτίζειν ἐπιχειροῦσιν κιβδήλων νομισμάτων καὶ ὑποχάλκων δωρήμασιν. οὔκουν διδάσκομεν, ἀλλά σε εἴτε τοῦ μεγέθους τοῦ πράγματος συνιέντα εἶτα ταὐτόν τι πάσχοντα τοῖς ἀμηχάνῳ βάθει τὰς ὄψεις ἐναφιεῖσι καὶ ἰλίγγῳ λαμβανομένοις, ἔξω τοῦ πάθους αὐτοὶ καθιστάμενοι ἀνακτώμεθα, εἴτε τῆς συνήθους περιεχόμενον ἀπραγμοσύνης, τῷ μεγαλοφυεῖ σε ὑπολιχνεύοντες τοῦ μισθοῦ τὴν ἀθυμίαν ὑποτεμνόμεθα.

Ἀλλ' οὕτως μὲν ἐγὼ θερμός, ὡς ἔοικεν, τὰ τοιαῦτα ἀνὴρ καὶ πέρα τυχὸν τοῦ προσήκοντος παρρησιαστής, σμῆνος κινῶν (τὸ τοῦ λόγου) ψεγόντων ἢ ἐπαινούντων, ὡς ἄν τις αὐτῶν εὐνοίας ἢ μίσους πρὸς ἡμᾶς ἔχων καταλαμβάνηται. τί δὲ σιωπᾷς καὶ αὐτός, θεόσοφε βασιλεῦ; οὐκ ἐν καιρῷ σοι φιλοσοφεῖται τὰ τῆς σιγῆς. ἄνοιξον πρὸς αὐτὸν στόμα, σοφίας πηγήν, ἢ πάντας ἡμᾶς, δοκῶ δέ μοι

2–3 ib. 2, 1 || **4** 1 Tim. 3, 15 || **11–14** Act. 13, 1–3

καὶ αὐτόν, διψῶντας λόγους ἐμπλήσει συνέσεως. λάλησον αὐτῷ εἰς τὴν καρδίαν μὴ ἀθυμεῖν τὴν προστασίαν. κίνησον αὐτῷ τοὺς καταρράκτας τοῦ νοῦ, ἀβύσσῳ τῇ σῇ τὴν τούτου παρακαλῶν ἡμῖν ἄβυσσον φωνὰς κροτῆσαι οὐχὶ βρονταῖς ἴσας σκληρῷ τῷ ἤχῳ διαρρηγνύσαις τὴν ἀκοήν — καὶ τοῦτο μὲν γάρ, ἐπειδὰν πλήττειν δεήσῃ τοὺς ἁμαρτάνοντας — ἀλλ' ἐπιστήμης λόγοις ποιμαντικῆς ἡμᾶς γε τέως περιαστράψαι τῷ ζῶντι αὐτοῦ λόγῳ καὶ ἐνεργεῖ καὶ σοὶ τὸν χαριστήριον πλέξασθαι. πεῖσον αὐτὸν ὡς οὐ χαλεπὸν ἄρχειν ἀνθρώπων ὑπό γε τούτῳ ἀλλήλων τάττεσθαι κατεπειγομένων καὶ περιχαρῶς διατιθεμένων τῷ πράγματι. καίτοι γε σοί, φιλανθρωπότατε βασιλέων, (χρῆναι γὰρ οἶμαι τἀληθῆ λέγειν) οὐδὲ πολλοστὴ τῶν ἀρχομένων μοῖρα τὸ ἑκούσιον τῆς ἀρχῆς συμπληροῖ· βραχεῖς γὰρ καὶ ὅσοι καλοκἀγαθίᾳ κοσμούμενοι. ἀλλ' ὅμως οὐ διὰ τοῦτο δυσχεραίνεις τὴν βασιλείαν, οὐ δυσφορεῖς τὴν ἀρχήν, οὐ περιίστασαι τὸ ὑπήκοον, ἀλλὰ καὶ μὴ βουλομένων ἄρχεις αὐτὸς καὶ λόγῳ παιδαγωγῷ τὴν ὕβριν αὐτῶν κατάγχων τε καὶ κολάζων ἐπὶ τὸ φρονεῖν αὐτοὺς εὖ μάλα ἐπανάγεις καὶ σωφρονεῖν. ἀλλ' ἐφ' ἡμῶν οὐδὲν τοιοῦτον εὑρεῖν, οὐδ' οὕτως τις ἰταμὸς καὶ συνέσεως ἄμοιρος ὡς ψήφῳ διὰ σκαιότητα πάντως ἀντιλέγειν θεοῦ, ἀλλὰ καὶ πάντες ἄσμενοι καὶ πάντες χάριν ἀνομολογοῦντες | ἐπὶ τοῖς παροῦσι 122v *θεῷ καὶ πάντες αὐτῷ ζῆν ἐγνωκότες, οὐχ ἑαυτοῖς. ἆρ' οὖν πρὸς εὐπρόσωπον αὐτῷ πρόφασιν ἀποβλέπει τὸ διὰ τὴν ἀρχὴν ἀθυμεῖν; οὐκ ἔστιν εἰπεῖν.*

Τούτων δεόμεθα καὶ τῶν τοιούτων, πανάγαθε βασιλεῦ, ἢ μᾶλλον ἀφυκτοτέρᾳ λόγων σαγήνῃ καὶ θερμοτέρων ἐφόδῳ ῥημάτων μαλάξαι τὸ πρὸς τὴν ἡμετέραν αὐτοῦ προστασίαν στερεόν· οἷος αὐτὸς ἀμάχῳ λόγων δυνάμει καὶ

1–2 cf. Gen. 50, 21; 2Reg. 19, 8; Is. 40, 2 || 3–4 Ps. 41, 8 || 24 Rom. 14, 7–8

20 *εὑρεῖν*] *γρ(άφετ)αι ἰδεῖν* V mg. || 22 *σκαιότητα* Wk: *δικαιότητα* V

ἴυγγι ἄγειν καὶ φέρειν ὡς ἂν ἐθελήσῃς τὸν ἐπαΐοντα, οἷός τε ὢν καὶ πλέον ἐπάγεσθαι ἤπερ ὁ Θρᾷξ ἐκεῖνος λυροποιός, τοῦτό γε δὴ τὸ πολύ, ὅσα τῆς αἰσθήσεως ἄμοιρα. τούτων δεόμεθα, βασιλεῦ, τούτων καὶ τύχοιμεν διὰ σοῦ. πεισθήσεταί σου τοῖς λόγοις, θαρρῶν φημί, θειότατε, οὐκ ἀτιμάσει τὴν ἐπαινετὴν βίαν, οὐκ ἐάσει παρευδοκιμῆσαι τὸ εἰκῇ προσὸν αὐτῷ δέος οὗ μὴ ἔστι φόβος τηλικαύτης ἀρετῆς συμβουλήν, ἢ τὸ τοῦ συμβούλου δυσωπηθεὶς ἀξιόπιστον, ἢ τῷ καιριωτέρῳ μετακλιθεὶς τοῦ βουλεύματος. ἀλλ' ἔσοιτο ταῦτα, θεόσοφε, καὶ ὀναίμεθα πάντες αὐτοῦ, τὸ μὲν ὑμέτερον κράτος τὸν πρὸς θεὸν μεσίτην, τὸν πνευματικὸν τοῖς ἔργοις ἐπιγινώσκον πατέρα, ἡμεῖς δὲ τὸν ποιμένα, τὸν ἀρχιερέα, τὸν πρὸς θεὸν διαλλακτήν, τὸν πρὸς ἀνθρωπίνους πρόβολον πειρασμούς, μὴ δὴ κατόπιν τῆς περὶ τὰ ἀμείνω ἐρχόμενον σπουδῆς καὶ οἷς ἐκ νέου συζήσας εἰς τόδε μέτρον ἡλικίας κατήντησε τοῦ πληρώματος τοῦ Χριστοῦ, μηδ' ἀτυχῆσαι τῶν περὶ αὐτοῦ χρηστοτέρων ἐλπίδων τε καὶ ἐκβάσεων.

7 Ps. 13, 5 || **16–17** Eph. 4, 13

5 *φημὶ* s. l. V | *θειότ(α)τ(ε)* compend. V, tum *βασιλεῦ* deletum

58

Ἐπιβατήριος ἐπὶ τοῖς τιμίοις λειψάνοις Λαζάρου, ἃ Λέων ὁ φιλόχριστος βασιλεὺς ἐκ Κύπρου μετήνεγκεν

Oratio in ecclesia Sapientiae habita, cum Lazari reliquiae ex Cypro insula Constantinopolim adlatae essent; pompa tunc deducta in Op. 59 plenius describitur, ubi legimus Pleiadibus occidentibus eam factam esse. dies ergo fuit 17 Oct., quem memoriae huius translationis dedicant calendaria; annus incertus, nisi quod, cum tota haec series orationum (Opp. 57–65) intra annos 901 et 902 comprehendi videatur, probabiliter hanc anno 901, sequentem anno 902 assignaverunt Jenkins et Mango. in fine de Bulgaris loquitur indutias usque proferentibus.

Λάζαρος ὁ Χριστοῦ φίλος τὸ παρὸν πνευματικὸν συγκεκρότηται σύστημα, οὐ δείπνῳ τοὺς ἀγνώμονας ὡς πάλαι Ἰουδαίους πρὸς φθόνον κινῶν, οὐδὲ ταῖς ἀδελφαῖς τῇ μὲν εὐτυχῶν †διὰ μόνῳ† τῷ μύρῳ πολυτελεῖ τὸν διδάσκαλον δεξιουμένην, ἀλλ' ἐπιβατήριον τοῖς τοῦ σώματος λειψάνοις τῇ βασιλίδι τῶν πόλεων ἐκτελῶν, καὶ βασιλεῖ πρὸς τοῦτο πιστοτάτῳ χρώμενος αὐτουργῷ, κάλλιστά τε τὸν ἐπιβατήριον διατιθέντι καὶ δάκρυσιν αὐτὸν ἀντὶ μύρου ῥαίνοντι φιλοτίμως· δάκρυσι τὴν πίστιν ὅση τοῖς θεωμένοις κηρύττουσι καὶ χαρᾶς οὐχὶ δὲ λύπης πρόξενον καθεστῶσιν· ὡς γὰρ τὸ κατηφὲς ὑπονύττον τὴν αἴσθησιν τοὺς τῶν δακρύων ἀνεστόμωσεν ὀχετούς, οὕτω δὴ καὶ τὸ κατ' ἐλπίδα καλὸν

13 mg. *πρόξενον*] *σύμβολον* **V** mg.

1–5 cf. Andreas Cret., Or. 8, PG 97, 960A3 || **5–8** Io. 12, 1–11

58 V — Jk-Ld-Mn pp. 20–22 || **7** *διὰ μόνῳ*] ex. gr. *διακόνῳ* ⟨*πρὸς Χριστοῦ ἑστίασιν, τὴν δὲ ὁρῶν*⟩, cf. ll. 9–12

διάχυσιν προμηθούμενον τῇ φύσει τῷ περιττῷ τοὺς τῶν ὀμμάτων ἀνέπλησεν ἀγωγούς.

Ἀλλὰ συνδράμωμεν καὶ ἡμεῖς, μέρος τῆς ἐπαινετῆς ταύτης καὶ μακαρίας εὐφροσύνης γενώμεθα, μετάσχωμεν 123r *τοῦ ἁγιασμοῦ, εἰ καὶ μὴ χερσὶ τῆς | σοροῦ προσψαύοντες, ἀλλ' οὖν τῇ πίστει ἐγγίζοντες. οὐκ ἐστενοχώρηται τὰ τοῦ πνεύματος τόπῳ οὐδὲ διαφράττεται τοῖς ἀπείργουσιν ἡ χάρις, ἵνα μὴ κἀνταῦθα παρευδοκιμῶνται οἱ τὴν γνώμην αἰδήμονες. οὕτως ἐγγίζομεν καὶ τῷ πάντα πληροῦντι θεῷ, εἴ τῳ μὴ παρέργως ἐκεῖνο ἀκούεται τὸ 'ἐγγίσατε πρός με καὶ ἐγγιῶ ὑμῖν', καὶ μακρυνόμεθα τῇ ἀπιστίᾳ πορνεύοντες ἀπ' αὐτοῦ ὡς πόρρω τοῦ ἀγαθοῦ καὶ τῆς ἀρετῆς ἀπονεύοντες. τί γὰρ ἄλλο τὸ κωλῦον ἐγγίζειν τῷ πανταχοῦ παρόντι; ἀλλὰ γὰρ τί χρὴ ταῦτα κινεῖν; προσψαύωμεν καὶ οἱ πόρρω τῆς παναγίας ταύτης σοροῦ, ταῖς τῶν ὀμμάτων βολαῖς ἐπαφώμενοι, τῇ σκιᾷ καταλαμβανόμενοι, τῇ ὀσφρήσει τῆς εὐωδίας τῶν τιμίων ὀστῶν ἀντιλαμβανόμενοι. ἔστι καὶ τούτοις τὴν χάριν συλᾶν, τὰς νόσους φυγαδεύειν, ἅπαν φθοροποιὸν ἡμῖν ἀποτρέπειν. Πέτρου μοι καὶ Παύλου ἀναμνήσθητι τῶν θαυμάτων, τοῦ μὲν τῇ σκιᾷ τοῦ δὲ τῷ χρωτὶ τῶν σουδαρίων τὰ παράδοξα ἐνεργούντων. τί δὲ καὶ ὁ ἐμὸς πάλιν σωτὴρ Ἰησοῦς; μὴ πάντα τὰ τεράστια τῇ ἁφῇ καταπράττεται; 'Λάζαρε, δεῦρο ἔξω', φησί, καὶ πρὸς ἔργον εὐθὺς ὁ λόγος χωρεῖ, καὶ γίνεται ἡ φωνὴ δραστικωτέρα χειρός, καὶ τὸ παρὰ τοῦ στόματος ἐκπεμφθὲν ἐνεργέστερον ἕλκει τῶν ἀγόντων πρὸς τὸν καλοῦντα.*

Οὗτος ὁ τότε κληθεὶς ὁ νῦν ἡμῖν ἐκ Κύπρου τῇ βασιλέως συνέσει ἐπιδημῶν· ἔδει γὰρ ἔδει μηδὲ τοῦ τοιούτου ἡμᾶς ἁγιασμοῦ ὑστερεῖν. οὗτος ὁ πρῶτος τῇ τοῦ διδασκάλου ῥοπῇ τὸ τοῦ θανάτου διασείσας βασίλειον. οὗτος ὁ καθάπερ ἀπό τινος νύσσης αὖθις τὴν τοῦ βίου διαυλοδρομήσας ὁδὸν καὶ πάλιν ἔτεσιν ὥς φασι πέντε καὶ δέκα κατα-

10–11 Iac. 4, 8 || **11–12** Ps. 72, 27 || **19–21** Act. 5, 15; 19 12 || **23** Io. 11, 43

1 *προμηθούμενον*] *-μηθ-* ex *-θυμ-* **V**

λαβὼν τῆς παρούσης ζωῆς τὸ κατάλυμα καὶ πρὸς τὸν αὐτοῦ καθηγητήν τε καὶ φίλον ἀναπτάς (ποθεῖ γὰρ τῷ φιλοῦντι συνεῖναι) καὶ πάλιν ἥξων μετ' αὐτοῦ τὴν δρωμένην ἀναζωπυροῦντος κόνιν καὶ πρὸς ἀκήρατον μεταστοιχειοῦντος κατάστασιν.

Ἀλλὰ γὰρ σκόπει μοι νῦν καὶ τὸν περιώνυμον τοῦτον ναὸν καὶ τῆς θεοῦ σοφίας ἐπώνυμον οἷά τινα ἔμψυχον πανδοχέα καὶ μεγαλόψυχον σκιρτῶντά τε καὶ γηθόμενον τῇ τοῦ παναγίου τούτου θησαυρίσματος ἐπεισόδῳ, ὡς ἀληθῶς τε τῷ τοῦ ἀφ' οὗ παρωνόμασται φίλῳ συναγαλλόμενον καὶ τοὺς ἁπανταχόθεν αὐτῷ φοιτῶντας τῇ τελετῇ τῷ κύτει τῶν ἑαυτοῦ χωρίων ἐγκολπιζόμενον, χαίροντα τοῖς δρωμένοις, τοῖς ὕμνοις ἀντηχοῦντα χαρμονικώτερον, ὡς ἄστροις ἡμεροφανέσι τῇ φρυκτωρίᾳ ἐλλαμπρυνόμενον, ὡς ἄλλον Μωϋσέα τὸν αὐτοκράτορα τὰ τοῦ ἠγαπημένου ὀστᾶ εἰς τὴν ἀληθῶς ἁγίαν κομίζοντα γῆν εἰσδεχόμενον. τοῦτό σου τὸ ἐξαίρετον, θεόστεπτε, κατόρθωμα λαληθήσεται | ἀπὸ γενεᾶς μετ' ἐγκωμίων εἰς γενεάν. αὕτη σου 123v *ἡ θεόσοφος πρᾶξις τὰς τῶν παλαιῶν ἀποκρύψεται ἀνδραγαθίας. καὶ τί γὰρ εἰς κατόρθωμα μεῖζον τοῦ φιλόθεον ὡς φιλάγιον εἶναί τε καὶ τοῖς μετὰ ταῦτα πιστεύεσθαι; τούτῳ νικήσεις ἐχθροὺς εὐχερῶς, τούτῳ τροπώσῃ ἀλλοφύλους. ἐπὶ ἀσπίδα ἐπιβήσῃ, πολέμιον κωφῶς πρὸς εἰρήνην διατιθέμενον, καὶ καταπατήσεις λέοντα καὶ δράκοντα, βάρβαρον τῇ ἑαυτοῦ ἀποθρασυνόμενον ἰσχύϊ καὶ τῷ σκολιῷ τῶν βουλευμάτων ὡς οἷα προμήκει ὁλκῷ τὰς γαληνίους συμβάσεις παρέλκοντα. τοῦτο καὶ πρὸς τὰς ἐκεῖσε μονὰς ἐφόδιον εὑρήσεις δεξιὸν εἰς τὸ Λαζάρου σε τοῦ οὕτω παρ' ὑμῶν τετιμημένου παραπέμπον ἀξίωμα, εἴπερ φίλος μὲν οὗτος Χριστοῦ, φίλος δὲ τούτου σύ, 'κοινὰ' δὲ 'τὰ φίλων' καὶ 'φίλος ἄλλος ἐγὼ' τίς ἀμφιβάλοι; λέγεται γὰρ*

15–16 Ex. 13, 19; cf. Gen. 37, 3 || **18** cf. Ps. 9, 27; 76, 9; 84, 6 || **22–23** 2 Reg. 8, 1 || **23–24** Ps. 90, 13; 57, 5 || **30–31** CPG I 106; II 76 || **31** Aristot., Eth. Nic. IX 4, 1166a31–32; Hermias, In Phaedr. 192, 10–11 Couvreur

2–3 fort. ⟨τὸ φιλοῦν⟩ τῷ φιλοῦντι || **20** τοῦ Wk: τὸ V

τοῦτο καὶ νῦν καὶ τοῖς πάλαι σοφοῖς, καὶ πίστιν παρέχει τοῖς λόγοις ἡ τῶν πραγμάτων ἐνάργεια, ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

59

Τοῦ αὐτοῦ ἔκφρασις πομπῆς ἱερᾶς ἣν Λέων ὁ εὐσεβὴς βασιλεὺς ἐπὶ τοῖς τιμίοις λειψάνοις πεποίηται Λαζάρου τοῦ Χριστοῦ φίλου, ὅτε πρώτως αὐτὰ ἐκ Κύπρου μετήνεγκεν

Est oratio sollemnis habita in festo consecrationis ecclesiae S. Lazari (d. 4 Mai, anni ut videtur 902). cum Arethas de ipsa aede vix uno alterove verbo mentionem faciat, totus in describenda translatione priore anno facta versetur, crediderim ecclesiam ipsam iam a. 899 absolutam esse (quo aedificatam traditum est), illo demum die reliquias in sedem destinatam perlatas esse, quamobrem hanc veram propriamque consecrationem esse perorans dicit. Bulgaros, quos in Op. 58 indutias. usque prolatare questus erat, nunc supplices pacem petere ait

Τὸν ἱερὸν τοῦτον σύλλογον καθορῶν καὶ τὴν πολυάνθρωπον ταύτην πανήγυριν, ζητῶ τίς ὁ κινήσας, τίς ὁ συναθροίσας, τίς ὁ καθάπερ πολύστομόν τινα ποταμὸν καὶ νῦν τὴν πόλιν ἡμῖν ⟨εἰς⟩ ἕνα τοῦτον χῶρον ταῖς παντοδαπαῖς ἀγυιαῖς ἀπερεύγεσθαι ἀναγκάσας, καὶ πέλαγος τοσοῦτον ἀνθρωπείου συστήματος οὔπω πρότερον τοιοῦτον ἑωραμένον ὅτι μὴ πέρυσιν ὑπὸ τῷ πρὸς θάλασσαν ἑῴῳ τείχει ἀναδείξας, τίς ὁ τύπῳ ἐμπροθέσμου ἑορτῆς τὴν πάνδημον ταύτην εὐφροσύνην καινοτομήσας; ἢ δῆλον ὡς Λάζαρος ὁ Χριστοῦ φίλος σαλπίσας τῇ ἑαυτοῦ παρουσίᾳ τορόν τι καὶ διαπρύσιον, πάλιν δημαγωγεῖ καὶ συγκαλεῖται λαὸν φιλόθεον καὶ φιλάγιον, οὐχ ἵνα τῷ καθ' ἑαυτὸν θαύ-

59 V – Jk-Ld-Mn pp. 22–25 || 3 ὅτε] ὅτι, -ι ex -ε, V || 5 τὸν Mn: ὃν V || 8 εἰς Mn: om. V || 12 ἐμπροθέσμου Mn: ἐμπροσθέσμου (sic) V || 16 φιλάγιον] -ιον ex -αον V

ματι εἰς ἔκπληξιν τοὺς παρόντας ἐμβάλοι οὐδ' ὅπως νεοθαλέσι κλάδοις οἷά τινα ἱκετηρίαν ὡς πρὶν τοῖς πλήθεσι πλέξῃ τῷ διδασκάλῳ, ἀλλ' ἵν' ἐκ Κύπρου τῇ βασιλέως συνέσει ἐπιστὰς αὐτὸς μὲν ἐμπομπεύοι θαυμάσιον οἷον τοῖς πλήθεσιν, ἁγιάζοι δὲ τοὺς συνειλεγμένους τῆς προθυμίας τοῦτο δῶρον ἀντιλαμβάνοντας.

Ἀλλὰ γὰρ καλὸν ἂν εἴη καὶ τῶν ἐκεῖ τελεσθέντων τὴν
124r χάριν τῷ λόγῳ διεξελθεῖν. | ἔσται γὰρ τοῦτο τοῖς μὲν εἰδόσιν ὑπόμνησις, τοῖς δ' ἀγνοοῦσι καλὸν δίδαγμα, μᾶλλον δὲ κοινὸν ἑκατέροις ἐντρύφημα πρὸς τὰ τερπνὰ πάλιν ἐπαναγομένοις τῷ λόγῳ διὰ τῆς ἀκοῆς καὶ ἅμα τῆς ἀπὸ τοῦ χρόνου λώβης δραστικώτατον φάρμακον. ἡμέρα μὲν οὖν ὑπεχαράσσετο ἤδη, καὶ βασιλεὺς ὁ τὰ θεῖα πολὺς ἀπὸ τῶν ἀνακτόρων ἀκάταν διήρη ἀναβὰς τὸν κατὰ Χρυσόπολιν πορθμὸν ὑπ' εἰρεσίᾳ διέβαλε, τοῦ θείου Λαζάρου τῶν ὀστῶν ἄρτι Χρυσόπολιν καταλαβόντων ἐπήβολος γενησόμενος. εἱστήκει δὲ τὴν ἀντίπορθμον ἅπασαν τὸ ὑπήκοον ἀπολαβόν, ὡς Ἀαρών τινα ἱερὸν ὑπὸ παραπετάσματι τῇ θαλάττῃ τὸν αὐτοκράτορα τὸ τοῦ πορθμοῦ ὑποδύντα διάστημα προσδεχόμενον. εἶχε καὶ θάλασσαν αὐτὴν ἀγαλλίαμα τοῖς τελουμένοις συνασμενίζουσαν. οὐ γὰρ ὑπτίῳ τῷ ῥοθίῳ καὶ ἠρεμαίῳ λειοκύμων δεικνυμένη οὐδέν τι τοῖς δρωμένοις συμπροθυμεῖσθαι ᾐνίττετο, κωφῷ δὲ τῷ κύματι ἐξοιδαίνουσα οὐ πρὸς ἀφρὸν τὴν ὄψιν τραχύνοντι, ἀλλ' οἷον πολλῷ τῷ περιόντι σκιρτῶσά τε καὶ γελῶσα παντί τε τῷ ἑαυτῆς ῥείθρῳ τὸν βασίλειον ἀκάταν προσπτύξασθαι κατεπειγομένη ἀνιόντα τε καὶ κατιόντα μεθ' ὧν ἄλλων σκαφῶν ἡ διαπόντιος τῷ ἁγίῳ πομπὴ ἐτελεῖτο παρέπεμπεν. εἶδες ἂν καὶ τοὺς ἰχθύας ἁλλομένους τότε καὶ ἀναθρώσκοντας καὶ ὡσπερεὶ χορείαν, ἡδὺ θέαμα, κατ' ἔθνη καὶ συστήματα ἑαυτῶν συγκροτοῦντας καὶ φωνὴν ἐοικότας προέσθαι τάχα τὸ γινόμενον ἀνυμνεῖν τοὺς ἀφώνους βιαζομένους τὸν φυσικὸν δεσμὸν ῥήξαντας. ἦν ἰδεῖν ἐκεῖ καὶ

1–3 Io. 12, 12–19

ἄλλο παράδοξον, τὴν ὑγρὰν πυρὸς εὐποροῦσαν ἀφθόνου, καὶ οἷς ἡ φύσις ἐπίμαχον τὴν συνέλευσιν ἀπεθέσπισε, τούτοις ἡ βασιλέως φιλοτιμία εὐμενῆ καὶ προσήγορον ἐμηχανᾶτο τὴν συνδρομήν. πυρσοῖς γὰρ κηροῦ πλείστοις ὅσοις κάλλει τε καὶ μεγέθει τοὺς πώποτε παρελαύνουσι καὶ τὴν κατὰ θάλασσαν πομπὴν βασιλεὺς καταποικίλας ἐμπυρίζεσθαι τὴν ὑγρὰν τῇ δᾳδουχίᾳ ἐμφάσεις παρείχετο.

Ἐπεὶ δὲ πρὸς τὴν ἀπόβασιν ὁ ἀκάτας μετὰ τοῦ ἱεροῦ προσωρμίζετο φόρτου, οὐδεὶς ὅστις ἐνταῦθα τῶν τε ἐξ ὑπερδεξίου τῆς Κωνσταντινουπόλεως ἕρκους κατασκοπούντων, τῶν τε ἐκ τοῦ πρανεστέρου ἀνανευόντων, ἤδη δὲ καὶ τῶν ἐξ ἴσου τῆς ἀποβάθρας ἐνατενιζόντων οὐχὶ τῇ ὄψει συναπηνέχθη καὶ τὴν ψυχὴν περὶ τὴν μακαρίαν τῷ ὄντι λάρνακα ἐμφιλοχωρῶν καὶ τὴν ἐναποκειμένην Λαζάρου κόνιν ποθῶν περιπτύξασθαι. κάτεισι μὲν οὖν βασιλεὺς αὐτός, | 124v *ἔνθεος μὲν ἰδεῖν, ἐνθεέστερος δὲ τὴν τῶν δρωμένων διάθεσιν. προὐχέοντο δακρύων λιβάδες αὐτῷ τῶν ὀφθαλμῶν, ὡς χοὰς οἶμαι τῶν ὀφθαλμῶν μεγαλοπρεπεῖς ἐπισπένδοντι. ἐπεδαψιλεύετο τὴν φρυκτωρίαν, λαμπάσι τοὺς ἐντυγχάνοντας δεξιούμενος. εἶπες ἂν αὐτὸν Μωσέα ὥσπερ ἀπ' ὄρους ἄρτι τῆς νεὼς καταβαίνοντα καὶ θεόγραφα πυξία τῷ παρεστῶτι τὴν ἱερὰν σορὸν προκομίζοντα, ἢ καὶ τὸν ἐμὸν Ἰησοῦν λιτῶς πᾶσιν ἀναμιγνύμενον καὶ τῷ πιεσμῷ τοῦ ἀμυθήτου συνθλιβόμενον ὄχλου. ὁ δορυφόρος ἀργός, ὁ πεζέταιρος ἥσυχος, ὁ προπέμπων περιττός, ὁ παραπέμπων μάταιος τὸ σοβαρὸν ἐπιδείκνυσθαι· ὅτε καὶ πρῶτον εἴδομεν βασιλέα τὸ τῆς τιμῆς μὲν ἀνακεχωρηκὸς τοῖς βουλομένοις ἀποπεμπόμενον, αὐτὸν δὲ τοῖς ὑπηκόοις ἀγαπῶντα συναγελάζεσθαι καὶ τὴν τοῦ δι' ἡμᾶς ἄνωθεν τῆς αὐτοῦ δόξης κενωθέντος ταπείνωσιν τοῦ βασιλείου τύφου ἐπίπροσθεν ἄγοντα.*

20–22 Ex. 32, 15–16 || **22–24** Mc. 5, 24 || **29–30** Phil. 2, 7

5 *παρελαύνουσι* Jk: *-νοντας* **V** || **22** fort. *παρεστῶτι* ⟨*Ἰσραὴλ*⟩

Ἀλλὰ τί τὸ ἐντεῦθεν; εἶχεν ἡ πόλις τὸν αὐτοκράτορα μετὰ τοῦ πρὶν γενέσθαι ἀπίστου τοῖς πολλοῖς πράγματος· ἤρετο χερσὶν ἡ σορὸς ὁσίαις· διηνθίζετο φύλλοις ὡς ἔθος φυτῶν καὶ κορύμβοις οἷς τοῦτο ἐπιμελὲς ἡ πρὸς τὸ τῆς θείας σοφίας ἐνδιαίτημα φέρουσα· προῆγε βασιλεύς· εἵπετο τὸ ὑπήκοον· εὔμολποί τινες καὶ καλλίμολποι τὸ νεότευκτον ᾆσμα ἐπῇδον οὗ βασιλεὺς αὐτουργὸς ἐχρημάτιζεν· ὑπέστενεν ἡ γῆ τῷ βάρει τῶν ἐρχομένων ἀχθομένη τὴν λεωφόρον. οὐκ ἦν τινὰ τῶν παρόντων ὑπαλλάττοντα τὴν πορείαν θεάσασθαι, ἐδόκει δὲ πλήρωμα παντοδαπῶν ἀνθρώπων ὡς ὑφ' ἑνὶ τόπῳ κατεστηλωμένον ὁρᾶν. ταύτῃ τοι σχολῇ καὶ βάδην καὶ ὡς ἐξ ἀρχῆς ἐτέτακτο ἕκαστος τὴν ὁδὸν διανύοντες, ὀψὲ καὶ μόλις τὸν περιώνυμον ναὸν ὑπεισήρχοντο, ἔνθα τῷ ἱερῷ τούτῳ ἀθροίσματι, καθάπερ ἀπό τινος συμμέτρου πορθμοῦ εἰς ἀχανές τι κύτος εἰσχεομένῳ, ὑπολωφᾶν τε παρεχωρεῖτο τοῦ ὠθισμοῦ καὶ πρὸς ἀνετωτέραν γενομένῳ κατάστασιν θεάματος αὖθις ἑτέρου ἦν ἀναπίμπλασθαι. φρυκτοὶ γὰρ μετέωροι ἐφ' ὑψηλοῖς τοῖς ἰκρίοις αἰρόμενοι καὶ τῇδε κἀκεῖσε εἰς ἔμπροσθέν τε καὶ ὄπισθεν τὸν ἱερὸν ἀπολαβόντες ὀκρίβαντα, καὶ σύμβολον τοῦ σωτηρίου πάθους τῷ σχήματι διαγράφοντες, θάμβος ὁμοῦ καὶ κατάπληξιν τοῖς ὁρῶσι παρείχοντο. φῶς γὰρ ἄκρατον ὑπολυγαζομένῳ τῷ ἱερῷ τεμενίσματι ταῖς τῶν ὀμμάτων ἀθρόως προσπῖπτον τῶν εἰσιόντων βολαῖς καὶ οἱονεὶ ἀμύσσον τὰς κόρας τῷ δραστηρίῳ τοῦ φέγγους ἀπήμβλυνέ τε τὰς ὄψεις καὶ συνετάραττε, καὶ πρὸς ἀνάληψιν τοῦ οἰκείου τῷ ἐθισμῷ τοῦ ὁρωμένου σχολάζειν ἐπέτρεπεν. ἐπεκρότει
125r τοῖς ὕμνοις τὸ ἱερὸν | σύστημα, ἐπατάγει κάτωθεν ἐξαίσιον ὑπηχοῦν ταῖς ὑποβεβλημέναις σανίσι τὸ ἔδαφος. ἤδη γὰρ ἤδη τὰς βορείους πορείας ὁ ἥλιος παρημείβετο καὶ πρὸς δύσιν Πλειάδων τὰ τῆς ὥρας μετερρυθμίζετο, ὅτε καὶ κρύους ἀποφυγὴν ἄνθρωποι μηχανώμενοι, δ ταῖς ὑπεστρωμέναις πλαξὶ φύσις παρέχεσθαι, ἐδωλιάζειν τὰ

20 ἀπολαβόντες Mn: -τα V || 22–23 fort. ὑπὸ λυγαζομένῳ

πρὸς τοὺς πόδας διὰ σπουδῆς ἄγουσιν. ἐπεὶ δὲ τῇ θείᾳ τραπέζῃ τὸ οὕτως ἀξίως δορυφορηθὲν ἀπετέθη, ἐῴκει μέν τι βασιλεὺς προθυμεῖσθαι τῶν εἰωθότων ἐρεῖν οἷς ἀεὶ πᾶσαν πανήγυριν σεμνοτέραν ἀπέφηνεν, ἐπεῖχε δὲ τὴν προθυμίαν τῶν συνελθόντων ὁ θροῦς ταῖς ἀκοαῖς ἐνοχλῶν· ὅθεν ἐπεὶ τούτου καιρὸς οὐ παρῆν, αὐτὸν μὲν εἰς τὸν ἐπιτήδειον ταμιεύσασθαι κρίνας καλόν, δόξαν δ' οὕτω τοὺς ἱεράρχας τὴν ἐνυπάρχουσαν περιπτύξασθαι κόνιν ἐφ' ᾧ τε καθαγιάσαι τὰ χείλη, ἐνταῦθά μοι σκόπει τῶν συνειλεγμένων τὸ πρὸς τὴν πίστιν διάπυρον. ἤρετο μὲν γὰρ ἡ καλύπτρα τῆς σεβασμίας θήκης, αὐτουργοῦντος καὶ τοῦτο τοῦ αὐτοκράτορος, εἰσέρρει δὲ παρευθὺς ὁ προσλιπαρῶν ὅμιλος τὰς ἱερὰς βιασάμενος κιγκλίδας, οὐδὲν ἢ καὶ παρὰ φαῦλον τὸ τοῖς ἀδύτοις ἐπιχωριάζειν τοὺς ἀνιέρους ποιούμενος. ἐδόκει γὰρ Λάζαρον ὡς ἀληθῶς ἔμπνουν ἐκεῖνον ἰδεῖν ἄρτι τοῦ λίθου περιαιρεθέντος τοῦ μνήματος καὶ πάλιν εἰς βίον προστάγματι τοῦ καλοῦντος ἐπαναγόμενον. ἐντεῦθεν εἰς ἀριθμόν τινα συσταλέντων βραχὺν τῶν ὅσοι τὴν μακαρίαν ταύτην ἠσπάσαντο κόνιν, αὖθις τῇ καλύπτρᾳ ὁ θησαυρὸς ἠσφαλίζετο. καὶ γὰρ ἐδεδίει βασιλεὺς μή τι καὶ πάθοι τῶν ὄχλων ἐπὶ διαρπαγὴν τῶν τιμίων ἀνηρεθισμένων λειψάνων καὶ πρὸς τὴν τόλμαν λοιπὸν παρακινδυνευόντων τὰς χεῖρας ὁπλίζεσθαι. αὐτοῦ δέ που τῆς ἱερᾶς ἐξόπισθε τραπέζης Δαυὶδ ὁ ἐμὸς ὡς πρὸς τὸν οἶκον Ἀβεδδαρᾶ τὴν ἄλλην τέως καταθέμενος κιβωτόν, πρὸς γῆν τε κλιθεὶς καὶ ταύτῃ ὅλως, ὢ πίστεως ἀνυπερβλήτου, περιχυθείς, ὀμμάτων τε θερμοτάταις ῥοαῖς αὐτῷ καὶ ⟨τῷ⟩ ὑπηκόῳ παντὶ παραιτησάμενος τὰ συμφέροντα, τὸ λοιπὸν ἤδη τῇ μυσταγωγίᾳ παρεχώρει. οὐ μέντοι γε τῷ ἐφεξῆς τῶν πρὸς θεὸν χαριστηρίων ὕμνων ἀπέληγεν, ἀλλ' ἐπειδὴ

23–25 2Reg. 6, 10

7 *ἀποταμιεύσασθαι, ἀπο-* punctis del., **V** || **11** *σεβασμίας*] compend. cod. **V** a Darrouzès solutum || **27** *θερμοτάταις* Mn: *-ων* **V** | *τῷ* Wk: om. **V**

περὶ λύχνων ἁφὰς προὔβαινε τὰ τῆς ἡμέρας, δευτέρων ὑμνῳδιῶν ἄχρι πρὸς τὴν ἕω ἀρχὴ τοῦτο καθίστατο, τοῦ πλήθους μὲν ὥσπερ ἐν τοῖς τοιούτοις φιλεῖ τῶν ὕμνων ἅμιλλαν ἐπιδεικνυμένων, ἀγωνοθετοῦντος δ' ἄνωθεν ἀπὸ τῶν ἱερῶν ὑπερῴων αὐτοῦ καὶ τὴν νικῶσαν τοῖς καθυπερτεροῦσι βραβεύοντος.

Ἀλλ' ὦ τοσαύτην μὲν θυμηδίαν τῇ σῇ πόλει, τοσούτων δὲ θησαυρὸν ἀγαθῶν πορισάμενος, ἐπὶ τοσοῦτον δὲ τοῖς θείοις ταύτην ἐπάρας αὐχήμασιν, εἴης ἡμῖν εὐδαιμόνως εἰς μακρότητα διαρκῶν ἡμερῶν, πατήσαις ἐχθροὺς δυσμενεῖς, σκυλεύσαις πολεμίους, λαφυραγωγήσαις ὑπεναντίους. ἥκοι-
125v *έν σοι καὶ τῶν ἄλλων | ἀνηκόων πρέσβεις ἐθνῶν, τὴν σὴν ὡς καὶ νῦν Βούλγαροι ἄμαχον ῥώμην ἐπεγνωκότες καὶ χοῦν ταῖς Λαζάρου πρεσβείαις τῶν ποδῶν ὑμῶν λείχοντες· ἴδοιμέν σε καὶ κατὰ ταύτην τὴν κυρίαν τῶν ἐγκαινίων ἡμέραν, οὗ τῷ θείῳ τούτῳ κάλλιστόν τε καὶ μεγαλοπρεπέστατον ἐτεμενίσω ναόν, φαιδρῶς μὲν ἑορτάζοντα, χαρμόσυνον δὲ διακείμενον, ἱεροτελεστικῶς τε τὴν ὄντως τοῦ θεοῦ κιβωτὸν τῷ ἑαυτῆς καταπαύοντα οἴκῳ καὶ τοὺς ἀξίους ἀπὸ τῶν οὕτω παρὰ τοῦ κράτους ὑμῶν τετιμημένων μισθοὺς κομιζόμενον νῦν τε καὶ εἰς τὴν ἐκεῖθεν βασιλείαν· γένοιτο, ἀμήν.*

9–10 cf. Ps. 22, 6; 92, 5 || **14** Ps. 71,9 || **18–19** Ps. 131, 8; 2Par. 6, 41

60

Σύμβολον πίστεως ἐπιδοθὲν ἐπὶ τῇ τῆς ἐπισκοπῆς αὐτοῦ προχειρίσει

Archiepiscopus Caesariensis electus Arethas ex more hanc scriptam professionem fidei suae synodo tradidit. id exeunte a. 902 aut non multo post factum esse arguit Jenkins.

Καὶ τὸν ἐκκλησιαστικὸν ἀξιέπαινον νόμον εἰδὼς τὸν ἄνω χρόνου τοῦ καθ' ἡμᾶς ἄχρι πρὸς τόδε καθήκοντα, ὃς ταῖς ἱεραῖς ἀρχαιρεσίαις λόγον διδόναι τῆς κατ' αὐτὸν ἐλπίδος τὸν ἐκλεγόμενον βούλεται, καὶ τῆς ἐμῆς οὐδενείας βάσανόν τινα καὶ δοκιμὴν ὑμῖν τῆς πίστεως παρεχόμενος, ἐν ᾗ καὶ γεγέννημαι καὶ ἐκτέθραμμαι καὶ θεοῦ χάριτι ἕστηκα, ᾗ καὶ συναπελθεῖν εὔχομαι τοῦ μοχθηροῦ τοῦδε σαρκίου λυθείς, ἐπὶ τὴν παροῦσαν, ὦ ἱερέων θεοῦ καὶ ἀρχιερέων ἁγιώτατον σύνταγμα, ἔγγραφον ἀφώρμημαι ὁμολογίαν, οὐκ ἀπὸ καρδίας λαλῶν οὐδὲ φωνῶν ἀπὸ γῆς, ὅπερ ὁ τὰ χείλη τῷ μυστικῷ καθαρθεὶς ἄνθρακι προφήτης τισὶν ἐπιμέμφεται (μανία γὰρ ἄντικρυς περὶ μεγάλων οὕτω καὶ τηλικούτων οὐδ' ἔστιν ὅσον εἰπεῖν αὐτῷ χρήσασθαι διδασκάλῳ καὶ καθ' ἑαυτοῦ, τὸ ᾀδόμενον, παίζειν ἄγαν ἐπισφαλῶς τε καὶ ὀλεθρίως), ἃ δὲ παρὰ τῶν εἰδότων μεμάθηκα ὑπό γε τῷ θείῳ τῆς ἀληθείας πνεύματι διδασκάλῳ, ὧν ἄλλοι τε μυρίοι τῶν θεοφόρων πατέρων καὶ προσέτι οὓς ὁ ἑπτὰ διαφόροις ἁγίαις συνόδοις ἀριθμὸς ἐπιγινώσκει λογάδας. ὧν καὶ θαρρήσας ταῖς ἁγνοτάταις εὐχαῖς ἤνοιξα

5–6 1Petr. 3, 15 || **8–9** cf. Rom. 5, 2; 1Cor. 15, 1 || **12** Ier. 23, 16 | Is. 8, 19 || **13** Is. 6, 6–7

60 V – Jk-Ld-Mn pp.25–28 || **15** *αὐτῷ* Ld: *αὐτῶ* **V**

στόμα καὶ εἵλκυσα πνεῦμα, εἰ καὶ μὴ κατ᾽ ἐκείνους, ἀλλ᾽ οὖν καθόσον ὁ τῷ εὐχομένῳ διδοὺς εὐχὴν ἔγνω με· δύναται γὰρ οὗτος, ὥς γε πιστεύων παρ᾽ ἐμαυτῷ κέκρικα, καὶ σοφὸν θεῖναι τὸν ἄσοφον καὶ λόγοις συνέσεως τῷ τοῦ ἀσυνέτου ἐπιδαψιλεύσασθαι στόματι. ὅθεν ἀρξάμενοι λέγομεν, ἀρχὴν ἐκείνην καλλίστην τοῦ ἡμετέρου προστησάμενοι λόγου.

Θεὸς ἡμῖν πατὴρ παντοκράτωρ, πάντων ἀρχὴ καὶ αἰτία, ἡ μακαρία ὁμολογία, μετὰ τῶν ἐξ αὐτοῦ ἀχρόνως τε καὶ ἀμερῶς καὶ ἀνεκφοιτήτως ἐνυποστάτως προϊόντων λόγου καὶ πνεύματος, τοῦ μὲν γεννητῶς, τοῦ δὲ ἐκπορευτῶς, ἥντινα δεῖ ποτὲ ταύτην τὴν γέννησιν ἢ τὴν ἐκπόρευσιν ἐννοεῖν, πάσης ἐμπαθοῦς τε καὶ αἰσθητῆς ὑπερκειμένην κινήσεώς τε καὶ σχέσεως, ὃ δὴ τριάδα ἐν μονάδι καὶ μονάδα ἐν τριάδι ὁ εὐσεβὴς ἄνωθεν λόγος ἀπηκριβώσατο, οὔτε τῷ τριττῷ εἰς διαφόρους φύσεις μανιωδῶς κατατέμνων, οὔτε τῷ ἑνιαίῳ εἰς μίαν Ἰουδαϊκῶς συναλείφων ὑπόστασιν, ἀλλὰ τὸ μὲν τριττὸν ἀπονέμων ταῖς ὑποστάσεσι, τὸ ἑνιαῖον δὲ **126r** *τῇ τῆς οὐσίας ἀποκληρῶν ἁγιότητι. | ἔδει γὰρ ἔδει μὴ μόνον πολλοποιοῦ τινὸς ἐξηρτῆσθαι τὰ μετ᾽ ἐκεῖνο διὰ τοῦτο διάφορα, ἀλλὰ δὴ καὶ πρὸς μίαν ἀρχὴν συνάγεσθαί τε καὶ ἀνατείνεσθαι, τοῦ σκεδασμοῦ καὶ τῆς ἀπειρίας ἐλευθερούμενα. πατὴρ οὖν καὶ λόγος εἴτουν υἱός (λέγεται γὰρ ἀμφοτέρως, τῷ μὲν τὸ ἀπαθὲς τῆς προόδου, τῷ δὲ τὸ πρὸς τὴν πρώτην αἰτίαν κατὰ τὴν φύσιν ἐπιδεικνύμενον ἀπαράλλακτον) καὶ πνεῦμα ἅγιον ταῖς ὑποστάσεσιν ὄνομα, συνάναρχά τε καὶ συναΐδια καὶ αἰώνια καὶ μηδενὶ τῶν τῇ πρώτῃ καὶ πάντων ἀρχῇ καὶ αἰτίᾳ προσόντων αὐτὴν δὴ ταύτην τὴν οἰκείαν ἀρχὴν ὑποβαίνοντα, οὐ χρόνῳ, οὐκ ἄλλῳ τινὶ διαστήματι, οὐκ οὐσίᾳ τοῦ ἀφ᾽ οὗ προῆλθε μειονεκτούμενα, οὐ δυνάμει τὸ πρὸς τὸν πατέρα ἔλαττον ὑποφαίνοντα, οὐ τῷ ἐξ οὐκ ὄντων μετὰ τῆς κτίσεως κατασπώμενα. οὔτε γὰρ νόθος υἱὸς ὁ υἱὸς οὔτε τὸ πνεῦμα τῆς τοῦ προάγοντος οὐσίας ἐξίτηλον· ὕβρις γὰρ ἄντικρυς τοῦτο τοῦ φύοντος, ἢ φθόνῳ ἐκφύλοις προόδοις τὰ ἐξ αὐτοῦ ἀτιμοῦντος ἢ ἀσθενείᾳ πρὸς τὸ τῆς χρείας καλὸν ἐνδεῶς ἔχον-*

τος, εἶτα πρὸς τὸ τῆς ἰσότητος ἧττον τοῖς ἀτίμοις συν-υποβαίνοντος, οὗ τί ἂν ἄλλο γένοιτο ἐμπληκτότερον; ταύτῃ τοι ὀρθῇ γνώμῃ καὶ ἀκαπηλεύτῳ φρονήματι μονάδα μὲν πάντων ἀρχὴν σέβομεν, διττὴν ἀκινήτως, τὴν μὲν γεννητῶς, τὴν δὲ ἐκπορευτῶς, ὥσπερ ἔφαμεν, ἐξ ἑαυτῆς προβαλλομένην ὑπόστασιν, μεθ' ὧν τὸ τριττὸν ὑπαγορεύει τῶν ὑποστάσεων, μένουσαν δηλαδὴ τοῦτο τῇ φύσει ὅπερ ἑνάς ἐστί τε καὶ λέγεται, καὶ μήτε τὰς διττὰς ὑποστάσεις θατέρᾳ τῶν προόδων προάγουσαν (ἐλλιπὴς γὰρ ἂν οὕτως ἦν τῷ ὑστεροῦντι τῶν θεοπρεπῶν προόδων ἀτιμουμένη) μήθ' ἑκατέραν πληθύουσαν ταῖς τῆς προαγωγῆς ἐπιδόσεσιν, ὅτι μηδ' αἰσθηταὶ αὗται, μηδ' οὐκ αὐτάρκως ἑαυταῖς ἔχουσαι πρὸς τελείωσιν· ὅλῳ δὲ τῷ εἶναι τὰ ἐξ αὐτῆς προβαλλομένη καὶ οὐδενὶ ἄλλῳ ἢ τῷ γε τρόπῳ τῆς προαγωγῆς τὸ πρὸς ἑαυτὰ καταδεδεγμένα διάφορον ἀσύγχυτον ἑκάστῳ καὶ μένουσαν τὴν προαγωγὴν συντηρεῖ, οὔτε τὴν εἰς ἀλλήλας τῶν ὑποστάσεων μεταβολὴν ὑφισταμένων ἢ τῷ γονίμῳ πάλιν τὸ πρὸς τὸν πατέρα δῆθεν ἀπαράλλακτον ἐπιδεικνυμένων (πόρρω γὰρ τοῦτο τῆς ἀτρέπτου καὶ μακαρίας ἀπέρριπται φύσεως), οὐ τῷ συναριθμεῖσθαι πρὸς δῆμον ἀθροιζομένων θεῶν (πῶς γὰρ ἂν συναριθμηθείη, οἷς μὴ τόπος, μὴ χρόνος, μὴ φυσικαὶ ἰδιότητες ἀπομεριζόμεναι τὴν πρὸς ἄλληλα τούτων εἰσηγεῖται ὑπαλλαγήν;), οὐδ' αὖ γε φυρμὸν τῷ τοῦ παντὸς ἢ καὶ ὑπὲρ τὸ πᾶν ἑκάστης πληρωτικῷ τῆς δι' ἀλλήλων ἐπεισαγούσης περιχωρήσεως· μένει γὰρ ἑκάστη καὶ μετὰ τοῦτο (ὢ θαῦμα) παρ' ἑαυτῇ καὶ τῆς ἑαυτῆς ἰδιότητος οὐκ ἐξίσταται. μονὰς οὖν ἄτρεπτός τε καὶ ἀναλλοίωτος ἡ ἐν τριάδι προσκυνουμένη θεότης, τοῦτο μετὰ τὴν πρόοδον μένουσα ὃ πρόεισιν ἐν αὐτῇ, καὶ τοῦτο προϊοῦσα ὃ μένει παρ' ἑαυτῇ· τὸ γὰρ ἑνί | τινι μόνῳ 126ᵛ ἀλλὰ μὴ ποικίλαις ταῖς ἰδιότησι τοῦ ἑνὸς ἐξιστάμενον ἀνεπηρέαστον δήπου τὴν πρὸς τὸ ἓν ἔχει ἐπιστροφήν, οἷς

4–5 supra p. 18,11

20 τῷ Wk: τὸ V

μὴ πάντη σκεδάννυται πρὸς ἓν κορυφούμενον, καὶ οἷς τὸ ὑπαλλάττον κεκλήρωται τοῦ ἑνὸς σκεδαννύμενον· ἑκάτερον γὰρ μὴ χηρεῦον θατέρου τῶν τε περὶ τὴν θείαν φύσιν ἀπεμφαινόντων τὰς ὑπολήψεις ἐκτρέπεται καὶ αὖθις ταῖς αὐταῖς ὑπολήψεσι τὸ ἀπεμφαίνειν δοκοῦν ὑποδύεται.

Ἀλλ' ὁ μὲν περὶ τῆς ἄνω θεολογίας λόγος ἐν τούτοις ἀναπεπαύσθω, φόβῳ τε τῶν ἀνεφίκτων τὸ πάντη περιττὸν εὐλαβούμενος καὶ ἅμα τῆς ἐκ τοῦ κόρου ἀπανιστάμενος ὕβρεως· τῆς κάτω δὲ καὶ περὶ ἡμᾶς τοῦτο ἀρχὴ γένονεν, ὁ τοῦ θεοῦ υἱὸς ἄνθρωπος δι' ἡμᾶς σάρκα προσλαβὼν ἐκ τῆς παρθένου, ἀλλ' οὐκ εἰς σάρκα παγείς· ἢ πῶς ἂν μεταδοίη τοῦ κρείττονος αὐτὸς τὸ χεῖρον γενόμενος, πῶς δ' ἂν σώσῃ τὸ πρόσλημμα τὸ κατὰ φύσιν αὐτὸς ἀπολωλεκώς; σὰρξ οὖν ἐκ τῆς παρθένου τὸ πρόσλημμα, τοῦ ἡμετέρου σκήνους τῆς συμπήξεως ἡ ἀρχή· ἔδει γὰρ τὸν ἐκ τῆς ἄνω λαμπρότητος μετὰ τῆς ἡμετέρας εὐτελείας γινόμενον ἐν ἑαυτῷ τε πρῶτον ὑποστῆσαι τὸ πρόσλημμα, ὡς ἂν μὴ διασπῷτο μετὰ τὴν καθ' ἡμᾶς οἰκονομίαν θεοῦ τὸ ἀνθρώπινον μηδ' ἔμπνευσις ψιλὴ νομίζοιτο τὸ τελούμενον, ἀλλὰ καὶ διὰ πάσης ὁδεῦσαι τῆς ἐμῆς φύσεως, τὰ διαπεπτωκότα ταύτης ἐπανορθούμενον καὶ τελεώτατα τὸ ἡμέτερον ἀναπλάττοντα τῷ φυράματι. διὰ τοῦτο σὰρξ ὁ λόγος σκηνῶν ἐν ἡμῖν γίνεται, ἐν τῷ παρθενικῷ τῆς φύσεως ἐργαστηρίῳ τὸν ἑαυτοῦ ναὸν συμπηξάμενος· οἷς γὰρ τὴν ἀρχὴν οὐδένα τῶν κτισμάτων τῷ πλάσματι προσήκατο συνεργόν, καὶ αὖθις τῇ παραβάσει τοῦτο τῆς ἐντολῆς σαθρωθὲν ἀναπλάσαι βουλόμενος πάντα μέν τινα τοῦ ἔργου συλλήπτορα παραπέμπεται, μόνος δὲ τὸν ἀνακαινισμὸν τῆς φύσεως αὐτουργῶν, δεύτερον τοῦ προτέρου κρείττω Ἀδὰμ ἐκ τῆς παρθένου εἰς ἑαυτῷ ὑφίστησιν οἰκητήριον, οὐκ ἄνουν, οὐκ ἄψυχον, οὐκ ἀνενεργές, οὐκ ἀθέλητον. τὸ γὰρ ἡμαρτηκὸς ἐδεῖτο ἐπανορθώσεως καὶ ὅλον, ἀλλ' οὐκ ἐξ ἡμισείας, μῶ-

8–9 Theognis 153 || **22–23** Io. 1, 14 || **29** 1Cor. 15, 45

17 *πρῶτον*] ex *πρότερον* (?) **V**

μος γὰρ ἂν τοῦτο τοῦ σῴζοντος· ἀλλ' οὐδὲ τὸ ἰατρεῦσον ἐχρῆν εἰς τὴν τοῦ σῳζομένου τάξιν ἀντικαθίστασθαι, ἡ γὰρ ἂν οὐχὶ τοῦ πεπτωκότος ἀλλὰ τοῦ ἀνιστῶντος ἡ ἐπανάκλησις. ὅλος οὖν θεὸς ὅλῳ τῷ ἡμετέρῳ φυράματι μίγνυται, ἐντελεστέραν ἐργαζόμενος τὴν ἀντίδοσιν καὶ οὔτε τῇ συνόδῳ τῶν συνελθόντων φύρων τὰ ἰδιώματα οὐδ' αὖ τῇ τῶν συναφθέντων ὁλοκληρίᾳ διάστασιν ἐκ προσώπων τῇ συναφῇ μηχανώμενος, ἀλλὰ καὶ ταύτην εἰς μίαν ὑπόστασιν συγχέων καινοπρεπῶς καὶ τὴν σύγχυσιν αὖθις ἀφύρτως ἐπιδεικνύμενος. αὕτη καὶ τοῦ καθ' ἡμᾶς προσλήμματος ἡ ὀρθὴ καὶ οὐ διάστροφος θεολογία· εἷς υἱὸς καὶ μετὰ τὴν σάρκωσιν θεὸς τέλειος καὶ ἄνθρωπος τέλειος ἐν ὑποστάσει μιᾷ γνωριζόμενος, οὔτε τῷ ἑνιαίῳ τῆς ὑποστάσεως συγχέας τὰ ἡνωμένα οὔτε τῷ διττῷ καὶ τῇ σωτηρίᾳ τῶν φύσεων τῇ μιᾷ τι λυμηνάμενος ὑποστάσει, παθὼν ἀληθῶς τῷ ἡμετέρῳ ὑπὲρ ἡμῶν καὶ θανὼν καὶ τριήμερον ἀναστήσας τὸ πρόσλημμα καὶ εἰς οὐρανοὺς ἀναγαγὼν καὶ τῷ πατρὶ συγκαθιδρύσας καὶ πνεύματι, ἥξων τε πάλιν ὁ αὐτὸς κατὰ τὴν κοινὴν τοῦ γένους ἡμῶν ἀναβίωσιν κριτὴς ἀδέκαστος τῶν ἡμετέρων γενόμενος.

Ταῦτα, ὦ θεόλεκτον καὶ ἱερώτατον σύστημα, τὰ τῆς 127r *ἡμετέρας ὁμολογίας ἄνωθεν καὶ ἐκ πατέρων θεοπαράδοτα λόγια· τῶν ἐν Νικαίᾳ ὀκτὼ καὶ δέκα καὶ τριακοσίων τὴν Ἀρείου κατὰ τῆς δόξης τοῦ μονογενοῦς μανίαν ἀπελεγξάντων· τῶν ἐν Κωνσταντινουπόλει πεντήκοντα καὶ ἑκατὸν τὸ λυσσωδέστατον κατὰ τοῦ θείου πνεύματος δόγμα Μακεδονίου δραπετευσάντων· τῶν ἐν Ἐφέσῳ τὸ πρότερον διακοσίων Νεστόριον τῆς Ἰουδαϊκῆς φρενοβλαβείας βδελυξαμένων καὶ θεοτόκον τὴν ἀειπάρθενον τοῦ λόγου ἀνακηρυξάντων μητέρα· τῶν ἐν Χαλκηδόνι τριάκοντα καὶ ἑξακοσίων τὸ τῆς μιᾶς τερατολόγημα φύσεως ἐπὶ τοῦ δι' ἐμὲ κατ' ἐμὲ πλὴν τῆς τοῦ κρείττονος γεγονότος παρατροπῆς*

31–32 Heb. 4, 15

20 fort. *ἐσόμενος* || **32** *γεγονότος* Hansen: *-τα* V

Διοσκόρου καὶ Εὐτυχοῦς ἐκφαυλισάντων· τῶν αὖθις ἐν Κωνσταντινουπόλει πέντε καὶ ἑξήκοντα καὶ ἑκατὸν καὶ αὖθις ἑβδομήκοντα καὶ ἑκατόν, τῶν μὲν Ὠριγένους καὶ Διδύμου καὶ Εὐαγρίου τὴν ληρώδη προΰπαρξιν τῶν ἡμετέρων ψυχῶν καὶ ἀποκατάστασιν τῶν τῆς ἄνω δόξης ἐκπεπτωκότων μεμισηκότων, τῶν δὲ τὸ ἀνούστατον καὶ τοῖς εὐσεβέσιν ἀθέλητον ἓν ἐπὶ τοῦ θεανθρώπου θέλημα Σεργίου καὶ Πύρρου καὶ Κύρου ὅσους τε ἄλλους τὸ πονηρὸν συνεκρότησεν ἐργαστήριον ἀθετησάντων· καὶ τῶν ἐν Νικαίᾳ τὸ δεύτερον αὐτοῦ τε Χριστοῦ καὶ τῆς ἐκείνου θεοτόκου μητρὸς τῶν τ' ἄλλων οἳ διὰ πίστεως κατηγωνίσαντο βασιλείας τὰς ἱερὰς εἰκονουργίας Μανιχαϊκῷ καθαιρεθείσας φρονήματι αὖθις ἀναστηλωσάντων καὶ τὸν θεοπρεπῆ κόσμον τοῖς τοῦ θεοῦ ἀνακτόροις ἀποδεδωκότων. τούτων ἀκουστής τε καὶ μύστης κατευμεγεθήσας γενέσθαι τὰ μετὰ χεῖρας γράφω τε καὶ ὁμολογῶ καὶ κηρύσσω, θαρρῶ δὲ εἰπεῖν καὶ πεπίστευκα ὅτι καὶ γράψω τε καὶ κηρύξω, οὐδὲν μὲν τῶν ἀποχρώντως τὸν ἐγκείμενον νοῦν ἐξαγγέλλειν εἰωθότων τυχὸν ἔχοντα, ἀλλ' οἷον ὑποψελλιζομένῃ φωνῇ τὰ τελεώτερα τῶν μαθημάτων παραδηλοῦντα. πλὴν τί χρὴ δρᾶν, εἰ μηδὲν πλέον τοῦ θείου κατηξιώμεθα ταλάντου, τῇ δὲ ὑπούσῃ δυνάμει τὴν δόσιν ἐπεμετρήθημεν παρὰ τοῦ πάντα σοφῶς καὶ ὡς οὐκ ἄν τις εἴποι τὰ ἡμέτερα ἀκριβοῦντος, ἀλλὰ μὴ πέρα τῆς τοῦ λαμβάνοντος ἰσχύος ἐπιφορτίζοντος; ἐμοὶ δὲ εἴ τις μὴ θρύψιν ἐπιμέμφοιτο καὶ βλακείαν, κακῶς οὗτος εἰδώς, εἴποιμ' ἂν ὡς καὶ ὑπὲρ τὴν δύναμιν δέδοται ταῦτα εἰπεῖν, τῆς τῶν πνευματοφόρων, ὡς φθάνομεν εἰπόντες, πατέρων εὐχῆς τῇ τοῦ προκαθημένου ἀρχιποίμενος πρὸς τὸ κρεῖττον ἐντεύξει μεθ' ὧν ἄλλων, τῶν ὑμετέρων φημί, πρὸς τοῦτο δεήσεων συνεργοῖς χρησαμένης καὶ παρὰ τὴν ἀξίαν ἡμῖν ἐπιχορηγησάσης τὰ κρείττονα.

11–12 Heb. 11, 33 || **21** Mt. 25, 14–30 || **24–25** cf. 1Cor. 10, 13 || **28** supra p. 17,21

61

Δημηγορία ἐπιτραπέζιος ὑπὸ παρουσίᾳ Λέοντος τοῦ εὐσεβοῦς βασιλέως

Eodem die hanc orationem habitam esse quo altera quae sub numero 65 infra editur, ostendunt illius titulus et exordium; dies igitur est d. 20 m. Iulii, in festo S. Eliae, quo et annua memoria celebrabatur Leonis imperatoris morti erepti; annus, ut e rebus gestis in hoc opusculo commemoratis efficitur, A. D. 902. est panegyricus in Leonem, quem exemplar regis philosophi a Platone requisiti appellat cuiusque virtutem et fortunam summis laudibus prosequitur. inter virtutes maxime sapientiam elucere, fortunam conspici in victoriis quas ex Turcis et Saracenis Romani reportaverint, Afris superiore anno repulsis, classe Saracena paulo ante in Euripo procellis vexata, Theodosiopoli et Attica a vi hostili vindicatis. non iam fortunam, sed diviniorem quandam dispensationem in eo apparere quod nuper Eliam ipsum mirabili potestate superaverit pluviam de caelo suis precibus detrahens. in amicitiis vero iungendis et meliorem et feliciorem fuisse quam magnum illum Alexandrum; in quibus primum locum obtinere Nicolaum patriarcham.

Ὅπερ πολλοῖς τῶν συμπαρόντων οἶδα πραττόμενον καὶ
μέχρι τοῦ δεῦρο τολμώμενον, | ὡς καὶ εἰς ἔθος ἤδη χωρεῖν, 127v
βούλομαι μὲν καὶ αὐτός, ὀκνῶ δέ, τὸ τοῦ πράγματος δυσχερὲς καὶ τὸ τῆς ἀποτυχίας κακὸν εὐλαβούμενος. πρόθυμος μὲν γὰρ ἐγὼ τὰ παρόντα σεμνολογεῖν καὶ πρό γε τούτων σὲ τὸν οἱά τινα τοῦ λόγου ταμίαν λόγον ζωῆς ἐπέχοντα, τὸν ἀπείρῳ συγκαταβάσεως τρόπῳ τοῖς ταπεινοῖς ἡμῖν συνεστιᾶσθαι καταξιώσαντα, δέδοικα δὲ μὴ καὶ ἀμαθίας ἀποίσω γραφὴν ἀγροίκους λόγους εἰς ὦτα συνέσεως προβαλλόμενος, μᾶλλον δὲ μὴ καὶ τὴν τοῦ λέγειν

61 V — Jk-Ld-Mn pp. 28—32 || **3** *Ὅπερ* Wk: *Υπερ* **V**

ἐπισχεθείην φορὰν ὑπὸ μεγάλῃ τῆς σοφίας ἀβύσσῳ ἀφανισθείς, ὅπερ πρὸς τὸν ἡλιακὸν δίσκον πάσχειν αἱ θρυαλλίδες πεφύκασιν. ἐγὼ δ' ἂν ἐνδίκως ἐπιτιμήσαιμι καὶ τοῖς ἄλλοις, ἀποσχέσθαι τὸ λοιπὸν τῆς τοιαύτης τόλμης παρεγγυῶν καὶ τὸ 'γνῶθι σαυτὸν' περιφέρειν ἀεί, ἐπὶ σοφωτέρων ἀσκοῦντας σιγήν, ἐπὶ συνετωτέρων ἐπιδεικνυμένους ἀκρόασιν, μηδὲ νεωτέρους λόγους κατὰ πρόσωπον σοφῶν Νεστόρων ἐρεύγεσθαι.

Ἃ μὲν οὖν οἶδε τὴν εὐλάβειαν τοῦ λέγειν ἐμοὶ καὶ τοῖς ἄλλοις περιποιεῖν, τοιαῦτά τε καὶ τοσαῦτα λόγος τε ὁ ἡμέτερος αἱρεῖ κἀκείνοις τὸ αἱρεθὲν ἐπιδείκνυται. ἀλλ' οὗτοι μὲν ὡς ἂν ἐθέλοιεν διαγινέσθωσαν τοῖς λεχθεῖσιν, ἐγὼ δὲ τί πάθω; εἴτε γὰρ θρασύτητι τοῖς ὑπὲρ δύναμιν ἐγχειροίην τὸ ἧττον εὖ οἶδα πρὸς τὴν ἐγχείρησιν ἀπενέγκασθαι, εἴτε τῷ ἀνεφίκτῳ σωφρονιζόμενος τῶν προκειμένων ἡμῖν εἰς ὑπόθεσιν ἐπίσχω τὴν τοῦ λέγειν φοράν, τῷ ἀτελεῖ τῆς προθυμίας τὴν Ἡσιόδου κορώνην ἐνδίκως ἂν ὑποβλέψωμαι, μᾶλλον δὲ τὸ τοῦ ἐμοῦ Χριστοῦ ἄροτρον, ᾧ τὴν χεῖρα ἐπιβαλὼν εἶτα ὀπίσω στραφεὶς ἀνεύθετον ἐμαυτὸν τῷ λοιπῷ καταστήσομαι. ἢ δῆλον ὡς εἴ τι καὶ γένοιτο, μᾶλλον ἂν ἑλοίμην καὶ γέλωτα ὀφλῆσαι παρά γε σοφοῖς ἢ τῶν δι' ἐπιθυμίας ἐμοὶ ἁμαρτεῖν. διά τοι δὴ τοῦτο, ὡς ἂν οἷός τε ὦ, τῶν τε προκειμένων καὶ τῶν σῶν ἐπαίνων, θεόσοφε βασιλεῦ, ἤδη ἐφάψομαι. ὀργᾷ μοι γὰρ ἡ γνώμη πρὸς τοῦτο, ὀργῶσαν δὲ γνώμην κατασχεῖν ἢ τῶν πάνυ χαλεπῶν ἢ καὶ τῶν ἀδυνάτων.

Ὁ μὲν οὖν Ἀρίστωνος Πλάτων ὀξύτητι διανοίας τὸ κοινῇ πᾶσιν ἀνθρώποις λυσιτελοῦν ἀναθεωρῶν ἕξειν ἄριστα τὸν βίον ἀπεφαίνετο τότε, ἐπειδὰν ἢ οἱ φιλόσοφοι βασιλεύσωσιν ἢ οἱ βασιλεῖς φιλοσοφήσωσι. κἀκεῖνος μὲν οὕτως σοφῶς ἄγαν καὶ καταλλήλως ἐφθέγξατο, ἐφθάσαμεν δὲ τὴν πεῖραν τῶν εἰρημένων ἡμεῖς· καὶ νῦν ὁρῶμέν σε βασιλέα φιλοσοφίαν κεράσαντα βασιλείᾳ, πρᾶγμα οὐκ εὔκολον

5 CPG I 391; II 19 || **16–17** Hes., Op. 746–747 || **18–20** Lc. 9, 62 || **27–30** Plat., Resp. V 473 c11–d2

τοῖς πολλοῖς, καὶ τῷ παρ' ἑκατέρου καλῷ τὸ ἐλλειπὲς θατέρου ἐπανορθούμενον, ὡς μήτε βασιλείαν διὰ τὴν ἐξουσίαν κινεῖσθαι πλημμελῶς, μήτε φιλοσοφίαν ἀπραγμοσύνῃ πιεζομένην ἐν εὐτελεῖ τε καὶ ἀπόρῳ περιορᾶσθαι καθημένην τῷ σχήματι. οὕτως σὺ βασιλεύων φιλοσοφεῖς, μᾶλλον δὲ βασιλεύεις φιλοσοφῶν, τοσοῦτον καὶ πάντας τοὺς πρὸ σοῦ βασιλέας καὶ καθ' ἕνα τοῖς καλλίστοις ὑπερβαλλόμενος ὅσον ἐκείνοις τὸ πρὸς τοὺς ὑπηκόους καὶ τῷ πλούτῳ διάφορον.

Ἄλλων μὲν γάρ, πανάγαθε βασιλεῦ, ὅσοι τὴν αὐτὴν ὑμῖν ἀνυπεύθυνον ἀναβεβήκασιν ἀρχήν, ἄλλα γνωρίσματα· οἱ μὲν γὰρ ἐχθρῶν καταπτώσει συνεφαπτομένης | τούτοις 128r *καὶ τύχης τὸ ἀοίδιμον ἑαυτοῖς προσκτήσασθαι περισπούδαστον ἔθεντο, οἱ δὲ πολέμων ἐμφυλίων ἀνδραγαθήμασι κατοφρυωθέντες γαύρῳ φρονήματι τὸ πρὸς τοὺς ὁμοίους ἐνάμιλλον ἀπηξίωσαν, ἄλλοι δὲ πάλιν ἐθνῶν ἡγεμονίαις ἢ καὶ συμμάχων ἀμάχων τῇ δυνάμει ἐπαρθέντες τὸ πᾶν διὰ τούτου κατορθοῦν ᾤοντο, ἕτεροι ναῶν ἢ πόλεων καὶ λιμένων τῶν μηκέτι ὄντων δομήσει μεγαλαυχούμενοι ἀείμνηστον ἑαυτῶν ἐναποθέσθαι τῷ μακρῷ χρόνῳ τὴν κλῆσιν πεφιλοτίμηνται. γνώμης γὰρ ὡς ἔοικεν ἀσθενείᾳ περὶ τὴν ἐκλογήν τε τούτων καὶ κτῆσιν ἀποσφαλέντες ἃ τὸν εὐδαίμονα καὶ μακάριον οἶδε βίον περιποιεῖν, περὶ τὰ κελύφη φασὶ τὸ πᾶν τῆς σπουδῆς κατηνάλωσαν, τῶν ἐδωδίμων καταμελήσαντες. κἀκεῖνοι μὲν οὕτως· σοῦ δὲ εὐσέβεια μὲν καὶ ἡ πρὸς τὸ κρεῖττον τιμὴ τὸ ἐξαίρετον, ᾧ τὰς ἐτησίους ταύτας ἐξανυόμενος πανηγύρεις καὶ τράπεζαν ταύτην μητέρα σωφροσύνης καὶ τίνος γὰρ οὐκ ἄλλου τῶν καλῶν πρόξενον ἑτοιμάζων, ὅτι καὶ οὕτως ἡ τοῦ τοσούτου σοῦ τὴν ἀρετὴν ἑτοιμασία, ἡμᾶς ἑστιᾷς, θύμασι τὸ πλέον σωτηρίων τρέφων δογμάτων, κρατῆρι σοφίας μεθύσκων καὶ τοῖς τῆς εὐσεβείας διδάγμασιν πρὸς τοῖς ἡδίστοις*

32–p. 26,1 Prov. 24, 13

24 *κελύφη*] *τὸ ἔλυτρον τῶν ὀστεωδῶν καὶ καρυωδῶν ὡραίων περίβλημα* **V** mg.

ὡραίοις καὶ τὸν μυστικὸν ἡμῶν φάρυγγα ἐγγλυκαίνων, πρᾶγμα πολλοῖς μὲν τυχὸν σπουδασθὲν ἅτε διαιωνίζον καὶ τὰς ἀγήρως τιμὰς παρεχόμενον, οὐδενὶ δὲ οὕτως ὅτι μὴ σοὶ μόνῳ κατορθωθέν.

Ὧι γε δή, ὥσπερ εἰκός, ὁ θεῖος τῶν ἀρετῶν χορὸς ἐπακολουθῶν τε καὶ τελειούμενος τὸν ὡς ἀληθῶς μακαριώτατον καὶ εὐδαιμονέστατον ἄνδρα σε ἀναδείκνυσι. φρόνησις μὲν γὰρ καὶ ἀγχίνοια, ἃ καὶ τῶν ἄλλων ἀγαθῶν συνεπάγεσθαι φιλεῖ τὸν ἑσμόν, αὐτόθεν ὑμῖν ἐπιφαίνεται· πρὸς ἣν γὰρ ἄν τις βλέπειν τὰ τοιαῦτα εἰδὼς τῶν ὑμετέρων πράξεων ἐναπερείσῃ τὸν νοῦν, ὄψεται παρευθὺς τῶν μὲν ἐφ' ἑκάτερα ταύτης ὀλίσθων ἀπεχομένην, τοῦ μέσου δὲ καὶ τοῦ μετρίου τυγχάνουσαν. ἐντεῦθεν αἱ τῶν εἰς ὑμᾶς ἐξαμαρτανομένων παιδαγωγίαι, τοσούτου μὲν γέμουσαι τοῦ αὐστηροῦ τε καὶ δραστηρίου, τοσαύτης δ' ἔμπλεοι τῆς συμπαθείας ὡς μικροῦ δεῖν τοὺς ὁρῶντας ἐξαπορεῖν πότερον ποινὴ τὸ πρᾶγμα καὶ τιμωρία ἢ συγγνώμη τε καὶ συμπάθεια· οὔτε γὰρ τῷ ἀπηνεῖ πρὸς θηριώδη μανίαν τε καὶ ὠμότητα παραχωρεῖς ἀποχρήσασθαι, οὐ τῷ ἀνειμένῳ τε καὶ ἀφέτῳ πολλοὺς ἐπὶ τὰ τοιαῦτα παρακαλεῖν, ἀλλὰ καὶ μαστίζεις ἐλέῳ συγχέας τὴν μάστιγα καὶ συγγινώσκεις φόβῳ ἐγκαταμίξας τὸ σύγγνωστον.

Ἀλλ' ὅσα μὲν τῶν ἐπαινετῶν καὶ τιμίων τῷ ἐφ' ἡμῖν σεμνυνόμενα τὸν τῷ ὄντι εὐδαίμονα χαρακτηρίζειν ἐπίσταται, τοῦτον ὑμῖν ἢ καὶ κρειττόνως προσπεφυκότα καταλαμβάνεται τὸν τρόπον. οὐχ ὅτι δέ, ὡς ἄν τις οἰηθείη ἐπισφαλῶς, μηδὲν προσανατίθεσθαι τῶν λοιπῶν ὑμῖν ἔχομεν οἷς ὁ μακάριος συναθροίζεται βίος, ῥώμης φημὶ καὶ κάλλους τῶν τ' ἄλλων ὅσα κατὰ τὸν Σταγειρίτην τὴν ἔξωθεν εὐετηρίαν κρατύνεται, τῶν τῇ ψυχῇ μόνον προσόντων καλῶν ἐπεμνήσθημεν· ἔχω γὰρ καὶ περὶ τούτων εἰπεῖν ὅσα γε, τοῦτο δὴ τὸ τοῦ λόγου, ἅμαξα φέρει βοῶν |
128ᵛ καὶ ζείδωρος ἄρουρα. ἀλλὰ πρῶτον μὲν σοφὸν δοκιμάζοντες τὸ κρεῖττον νέμειν τῷ κρείττονι καὶ τῶν σὺν λόγῳ

29–30 Aristot., Eth. Nic. I 9, 1099a31–b7

κατορθουμένων τοῦ λόγου ἀπάρχεσθαι, κατὰ δεύτερον, ὥς οἱ παροιμιαζόμενοί φασι, πλοῦν τὰ ἑξῆς μετελεύσομαι, ἄλλως τε δὲ καὶ οὐ ταῦτα ὑπεῖναι σοὶ προσμαρτυρεῖται, οὐ περισπούδαστα ταῦτα εἰδώς, καλῶς γε ποιοῦντι, κατὰ δὲ τὸ πάρεργον τὴν τούτων φοράν τε καὶ κτῆσιν ἡγουμένῳ.

Τὰ μὲν οὖν ἐκ φύσεως ἀγαθὰ ὡς ἀμήχανον ὂν τῷ λόγῳ διεξελθεῖν αἰσθήσει παραχωρήσαντες, τῶν ὅσα τύχη τὸν τῶν καλῶν ἔρανον συνεισφέρουσα τῇ ἀταράχῳ ζωῇ λειτουργεῖν ἐξεπίσταται τὸν λόγον ἐπαφέντες τῷ λειμῶνι δρέπεσθαι, κατὰ Πίνδαρον, τῶν σῶν ἀρετῶν τοὺς κορύμβους ἐπισχεδιάσομεν. οὕτως γὰρ ἂν ὑμῖν μὲν ὁ ἐξ ἁπάντων ἀνελλιπῶς πλέκοιτο στέφανος, τοῖς πρὶν δὲ τὸ μακάριον ἐνδείᾳ περιστοιχούμενον τὸ πρὸς ὑμᾶς ἐκείνους ἀντεξετάζεσθαι παραιτήσεται. ὡς μὲν ἅλις ὑμῖν ἔχει πλοῦτός τε καὶ ἀρχή, οὐδὲν δέον ἀνασκοπεῖν· οὐκ ἂν γὰρ οἶμαί τινα ἀγνοεῖν ἢ ὅστις αἰσθήσεως ἀμοιρεῖ ἀρχὴν τὴν ἀνωτάτω λογοπραγῶν καὶ πλοῦτον βασιλέως ἐκλογιζόμενος. τῆς τύχης δὲ τοσοῦτον ὑμῖν πρόσεστι τὸ εὔρουν καὶ εὐμαρές, ἀεὶ κατὰ πρύμναν τῶν ὑμετέρων πραγμάτων τῆς τοιαύτης αὔρας ῥεούσης, ὥστε πολλῶν πολλάκις ἐν ἀπόρῳ κατειλημμένων τοσαύτην εὐπορίαν ὑπάρξαι ὅσην τις καὶ ἐκ μακρᾶς προνοίας εἰς τὸν ἐπιτήδειον καιροφυλακῶν ἐναπέθετο. Τοῦρκοι τῷ λόγῳ, λαὸς ὃν οὔπω πρότερον τῆς χρείας ἐγνώκειμεν, τὴν πίστιν παρέξουσι. τί δ' ἄν τις εἴποι Σαρακηνῶν ὀλέθρους, τῷ τε πέρυσιν ἐπὶ τῷ Ἄφρῳ παραλόγῳ τὸν λογισμὸν ἐκβαθύνων, ὃς καταλήψεσθαι τὴν καθ' ἡμᾶς ὡς νοσσιὰν καὶ ὡς καταλελειμμένα ᾠὰ ἠπείλει ᾠά, εἰ μὴ τὴν μεγάλαυχον ἔφθησαν γλῶσσαν αἱ σαὶ καταβαλοῦσαι κρειττόνων εὐτυχίαι ῥοπῇ, τῷ τε μικρὸν ἔμπροσθεν τούτου, γῆς καὶ θαλάσσης τὴν τούτων ἀπώλειαν μεριζο-

1—2 CPG I 359; II 24 || **9—10** Pind., Ol. 1, 13 || **26—27** Is. 10, 14

20 ῥεούσης] πνεούσης Jk || **21** εὐπορίαν Wk: ἀπορίαν V

μένων, τῆς μὲν πνεύμασιν ἐξαισίοις τραχυνομένης καὶ τὰς ἐκείνων ὁλκάδας αὐτάνδρους τῷ κατ' Εὔβοιαν ῥείθρῳ ῥοιβδούσης, τῆς γῆς δὲ ὀλίγοις καὶ εὐαριθμήτοις ὁπλίταις πόλεις ὅλας καὶ στρατόπεδα τῷ ἀνικήτῳ σου κράτει δουλαγωγούσης; οἶδε Θεοδοσιόπολις τὸ λεγόμενον, οἶδε τὸ κατὰ τὴν Ἀττικὴν ἅμα τῷ σῷ κράτει ἀριστεῖον ἀναφανέν. ἐῶ λέγειν θησαυρῶν ἀνευρέσεις πολυταλάντων καὶ ὧν τὸ πλῆθος μόγις ἂν ἑτέροις εἰς μακροτάτους ἐξεγένετο χρόνους.

Ἀλλὰ γὰρ ἐνταῦθα γενόμενος εἰς ἀμήχανόν τι τὸν λόγον δοκῶ μοι ἐμπίπτειν· ἔχει γὰρ ἀνθολκήν τινα καὶ τῶν ἐφ' ἑκάτερα μεταχειρίσεων τὸ πρὸ βραχέος γεγενημένον παράδοξον. κατεῖχε μὲν γὰρ αὐχμὸς τὰς ἀρούρας, ἐδεδίει δὲ πᾶς ὁρῶν ὅσον οὔπω τὰ λήϊα ξηραινόμενα καὶ γῆν ἄδικον περὶ τοὺς οἰκείους καθισταμένην θεραπευτάς, ὁ δακρύων ἀμυθήτοις ῥοαῖς καὶ σταγόσι τῶν ὑμετέρων συμπαθεστάτων ὀμμάτων θεὸς ἐξιώμενος ψεκάδας ἡμῖν ἐπεμέτρησεν ὑετοῦ καὶ διψῶσαν τὴν ἑαυτοῦ γῆν καὶ τὸ πλήρωμα | 129r αὐτῆς ἀνεκτήσατο. πότερον γὰρ εὐτυχίας ἔργον τοῦτο θετέον ἢ τῶν περὶ ψυχὴν ἀγαθῶν; οὔτε γὰρ ψυχὴν αἰτιάσαιτο τὰ οὐκ ἐφ' ἡμῖν οὔτε τύχην καὶ τὸ αὐτόματον. ἢ προφανὲς ὡς τὸ μὲν αἰτῆσαι φιλοθέου ἔργον ψυχῆς, τὸ δὲ καὶ τυχεῖν εὐμενείας τοῦ κρείττονος, ὅπερ εἴ τις εὐτυχίαν ἐθελήσει καλεῖν, οὐ πόρρω που τοῦ σκοποῦ καταστήσεται. Ἡλιὰς μὲν οὖν ὁ πύρινος ἐκεῖνος ἀνὴρ πολλῷ τῷ θάρρει πεπαρρησιασμένος τοῦ κτίσαντος, σφίγγων ὁπότε δεήσει τῷ παρανόμῳ λαῷ τοὺς ἀερίους ἀσκούς, ἐχαύνου πάλιν τῇ πανελκεῖ γλώσσῃ τὰ δι' ἃ ταῦτα προβαίνειν ἐπραγματεύετο κατὰ νοῦν αὐτῷ χωροῦντα θεώμενος· σὺ δὲ δεσμεῖς μὲν οὐδαμῶς οὐρανόν, ὅτι μηδὲ τοῖς ἴσοις ἑώρας κακοῖς τὸ ὑπήκοον ἐκλυόμενον, λύεις δ' ἀέρος κατήφειαν καὶ στυγναζούσας ἀρούρας πιαίνεις σταγόσιν ὄμβρων, ἤδη τὰς ὠδῖνας

18–19 Ps. 23, 1 || **25–29** 3Reg. 17

2 *Εὔβοιαν* Wk: *εὔοιαν* V || **5** *θεοδοσόπολις* V || **10** *τι*] *τί* ex *μοι* V || **26** fort. *δεήσειε*

ὀργώσας εἰς ἄσταχυν ἀπολύεσθαι, εἰ καὶ μὴ κατ' ἐκεῖνον κελεύσματι (ταῦτα γὰρ ἐκείνῳ μόνῳ τῷ ἐκ τῆς Θέσβης ἐξαίρετα καὶ εἴ τις κατ' αὐτὸν τὸν ζῆλον διάπυρος), ἀλλ' οὖν εὐχαῖς τε καὶ ταῖς πρὸς τὸ θεῖον ἐντεύξεσιν, οἷς ἥ τε περὶ τοῦτό σου εὐσέβεια ἡλίκη δεδήλωται καὶ τῶν ὑπὸ χεῖρα ὁπόσην ἔχεις τὴν πρόνοιαν, οὐχ ἁπλῶς βασιλεὺς ἀλλ' ὡς βάσις ἐλέους τῷ ὑπηκόῳ καὶ ὢν καὶ καλούμενος.

Τί ἔτι; φίλους ἡμῖν ἡ τῶν ἐκτὸς ἀγαθῶν εἰσηγεῖται σειρά. ἐγὼ δὲ ὅτι μὲν καὶ κατὰ τοῦτο τὸ Μακεδονικὸν μειράκιον παρευδοκιμεῖς καὶ πεζὸς ἐκεῖνος, τοῦτο δὴ τὸ ᾀδόμενον, παρὰ Λύδιον ἅρμα τὰ σὰ παραθέει καλά, οὐκ ἂν ὀκνήσαιμι λέγειν. ὁ γὰρ Ἀόρνους Πέτρας χειρούμενος ἀποτόμους, τοῖς φίλοις ὅσα καὶ ἀκενώτῳ χρώμενος θησαυρῷ, καὶ τοῖς Ὀξυδράκαις ἄγαν γενναίως ἐπιχειρῶν, καὶ Νύσσαν ὑπερβαίνων τὴν Ἰνδικήν, καθὸ καὶ πλέον ἔχειν τοῦ ἐκ Σεμέλης ἐδόκει τῇ στρατιᾷ, οὗτος κακῶς ὕστερον ἑάλω χρησάμενος φιλίᾳ. Κλεῖτος ἐκεῖνος τοῦ λόγου παράδειγμα ἐναργές, ὃν μεταξὺ πίνων τῷ δόρατι διαπείρας σφαγαῖς τῶν ἑταίρων ἐμόλυνε τὸ συμπόσιον. σοὶ δὲ φίλοι μὲν ἄλλοι καλοί τε καὶ ἀγαθοὶ καὶ τιμῆς ὅσαι ἡμέραι τῆς προσηκούσης παρὰ τῆς σῆς ἀνυπερβλήτου χρηστότητος ἀξιούμενοι, εἷς δὲ τοσοῦτον ἁπάντων τὸν φίλον κατὰ τὸν Σάμιον Πυθαγόραν ἐπιδεικνύμενος καὶ οὕτω σοῦ τῷ φίλτρῳ περικαόμενος ὥστε καὶ εἰς πατέρα σὸν καὶ τῆς ἀνὰ πᾶσαν τὴν οἰκουμένην ἁγίας τοῦ θεοῦ ἐκκλησίας ἐγγραφῆναι καὶ μηδὲν ἐλλείπειν ὧν τοὺς πατέρας εἰκός, πρᾶος, ἀόργητος, συμπαθής, προκαταλύων τῆς ἐκδικήσεως τὴν ὀργήν, προαναιρῶν ἐπιεικείᾳ τῆς τιμωρίας τὸ ἔνδικον. ἀλλὰ γὰρ τί μοι λόγων ἐπισωρεύειν ὄχλον; πάνθ' οὗτος τοῖς ὑπὸ χεῖρα ὅσα τοῖς ὑπηκόοις αὐτός, ὑπό γε γὰρ σοὶ καλλίστῳ παραδείγματι καὶ ἀρχετύπῳ ἓν ἀτρεκέστατον κάλλος τὸ ἑαυτοῦ ἠκριβώσατο· τὴν Ἰησοῦ νέκρωσιν ἐν τῷ σώματι περι-

10–11 CPG I 274; II 38 ‖ **22–23** Aristot., Eth. Nic. IX 4, 1166a31–32; Hermias, In Phaedr. 192, 10–11 Couvreur ‖ **32**–p. 30,**1** 2Cor. 4, 10

φέρων, κόσμῳ σταυρώσας ἑαυτὸν καὶ κόσμον αὐτῷ, οὕτω τὸν μέγαν ἀρχιερέα καὶ διεληλυθότα τοὺς οὐρανοὺς ἐκμιμούμενος μεσίτης θεοῦ καὶ ἀνθρώπων ἀναδείκνυται ἡμᾶς τε καταλλάττων θεῷ καὶ θεὸν ἡμῖν ἵλεων παρεχόμενος.

Τοιαῦτά σου καὶ τοσαῦτα, πανάγαθε βασιλεῦ, τὰ κατ' ἀνθρώπους ἐξαίρετα, ἃ τὸ μὲν ἡμέτερον περὶ σὲ τετόλμηκε φίλτρον· οὐκ οἶδα δὲ εἰ καὶ λόγου εὐπόρησε τῷ τῶν πραγ-
129v μάτων παρισουμένου | μεγαλείῳ. ἀλλ' ὁ ζωῆς καὶ θανάτου ταμίας, ὁ πρὸς τὰ κρείττω μεταβιβάζων ἀεὶ τὰ τοῦ σοῦ κράτους, πλατύναι σοι τὰ κατ' αὐτὸν διαβήματα καὶ θείη σοι τοὺς ἐχθρούς, ὅσοι τε ὁρατοὶ καὶ ὅσοι νοούμενοι, ὑποπόδιον καὶ περιζώσαι σε δύναμιν ἑκατέροις ἀποχρῶσαν ἐχθροῖς εἰς ταπείνωσιν, χαριζόμενος καὶ τῶν ἐκεῖθεν ὑμῖν ἀγαθῶν τὰ ἐξαίρετα, πρεσβείαις τῆς ἀειπαρθένου καὶ θεοτόκου αὐτοῦ μητρὸς καὶ πάντων αὐτοῦ τῶν ἁγίων· γένοιτο, ἀμήν.

1 Gal. 6, 14 || **2** Heb. 4, 14 || **3** 1Tim. 2, 5 || **10** Ps. 17, 37 || **10–12** Ps. 109, 1 || **12** Ps. 17, 33; 40

62

Δημηγορία ἐπιτραπέζιος ὑπὸ παρουσίᾳ Λέοντος βασιλέως

Oratio celebrans victoriam ex Saracenis Euphratis accolis partam; anno 901 exeunte habita, nam dicit res secundas in Or. 58 (d. 17 Oct. 901) a se praedictas iam nunc, brevi post, evenisse. maiorem Leonem probat Alexandro, cui aliquando et fortunam et virtutem defuisse dicit.

Οὐ μάτην, ὡς ἔοικε, πανάγαθε βασιλεῦ, τοῖς πρὸ βραχέος ὥσπερ ἀπεφοίβαζον λόγοις τὴν πρὸς τὸ θεῖον τοῦ σοῦ κράτους εὐσέβειαν πολλῶν ὑμῖν ἀγαθῶν μητέρα καθίστασθαι, ἣ δὴ καὶ μόνη εὐμενιζόμενον τὴν ὄντως εὐτυχίαν τοῖς ὑμετέροις ἐκπορίζειν ἀεὶ πράγμασιν οὐ διαλείπει. οἷον δή τι καὶ τὸ παρὸν ὑμῶν κηρύττει κατόρθωμα. Σαρακηνοῖς γὰρ τοῖς κατὰ ποταμὸν Εὐφράτην ἄγειν καὶ φέρειν εἰωθόσι τὴν καθ' ἡμᾶς καὶ λύττης ὑπερβολῇ τοῖς οὐδὲν ἠδικηκόσι λυμαίνεσθαι, ὀψὲ μὲν καὶ μόλις (χρηστότητος γὰρ ὑπερβολὴ ὅτι μηδὲ χαίρεις, τοῦτο δὴ τὸ θεσπέσιον, ἐπ' ἀπωλείαις ἀνθρώπων, οὐ λύθρῳ τῶν ὁμοφυῶν τὴν γῆν καταχραίνειν καὶ αἵμασιν) ὅμως τοῖς ἀλαζόσι τὸ σὸν στρατόπεδον ἐπαφείς, ἔδρασας οἷα μὲν εἰκὸς ἐκείνους παθεῖν, πολλῷ δὲ τῶν εἰς ἡμᾶς αὐτοῖς τολμηθέντων ἐλεεινότερα· ἀφ' ὧν λεία μὲν πολλή, λάφυρα δὲ τῷ ὑμετέρῳ στρατεύματι εἰς ὅλον ἔχοντα διαρκεῖν βίον εὐδαίμονα, καὶ θρίαμβος πάλιν ὑμῖν τῶν πώποτε καταχθέντων περιφανέστατος.

3–4 cf. supra p. 9, 22–27 || **12–13** Sap. 1, 13

62 V – Jk-Ld-Mn pp. 32–34

᾿Αλέξανδρον μὲν οὖν ἐκεῖνον τὸν τὴν ᾿Ασίαν δορίκτητον ἑλόντα εἶχεν εὐτυχίας φιλοτιμία, τὸ ἐμποδὼν ἅπαν καταστρεφόμενον, ὃς καὶ Διὸς ἑαυτὸν κατονομάζειν ἐβάκχευεν. οὐκ ἂν γὰρ ἔφθη τι ἐπινοηθὲν τὴν τῶν πραγμάτων συντέλειαν, πλὴν ἀλλὰ παρόντι καὶ πολλὰ πονουμένῳ, εἰ καὶ καθεύδειν μὲν τοῦτον τὴν δὲ τούτου τύχην ἐγρηγορέναι τῶν εὐφυῶς βωμολοχεῖν αὐτὸν ἐγνωκότων τις ἀπεφήνατο· ποῦ γὰρ αὐτῷ καθεύδειν, ὁπόταν τοσοῦτον ὑπῆν πονεῖσθαι τοῖς ἄνω κάτω πολέμοις καὶ κόπτεσθαι ὡς καὶ τραυμάτων πεῖραν λαμβάνειν καὶ μικροῦ δεῖν τῇ περὶ τοὺς ᾿Οξυδράκας ἀποίχεσθαι παραβόλῳ φιλοτιμίᾳ; ποῦ δὲ τὴν τύχην ἐγρηγορέναι, ἐπειδὰν πρὸς τοὺς Σκύθας αὐτῷ μάχης κατερρωγυίας αἰσχρῶς ἀπηλλάττετο, οὐκ ἂν τοῦτο συμβὰν εἴ τι τῶν ἀνυσίμων αὐτῷ καὶ κατὰ νοῦν προχωροῦν ἤλπιζεν, οὐδ' οὕτω παρὰ δόξαν ἀτελευτήτῳ, καθ' Ὅμηρον εἰπεῖν, ἐπὶ ἔργῳ τὸν πρὸς αὐτοὺς πόλεμον ἀνεβάλετο. ἀφ' οὗ δή τι ἐκείνῳ μὲν πρὸς χάριν ἐκπεπτωκέναι τὸ λόγιον φήσομεν, τοσοῦτον δ' ὑμῖν καὶ τῷ ὑμετέρῳ κράτει προσφύεσθαι ὅσον μηδὲν πονουμένῳ πολλὰ μὲν καὶ ἄλλα ὧν τοῖς ἔναγχος
130r *λόγοις ἐμνήσθημεν ἐξα|ναστῆσαί σοι τρόπαια, καὶ σύν γε τούτοις τὰ νῦν παρόντα τε καὶ βλεπόμενα ἃ τοῖς σοῖς στρατηγοῖς ἤνυσας. ταῦτα τῆς σῆς ἀληθοῦς εὐτυχίας δωρήματα, ταῦτα τῆς φιλοθέου ψυχῆς ὑμῶν σύμβολα, ταῦτα τῆς ὑπὲρ λόγον ὑμῶν ταπεινώσεως καὶ τῶν ἀγρύπνων πρὸς τὸ κρεῖττον ἐντεύξεων, αἷς αἱ τῶν θείων ὑμῶν ὀμμάτων προχύσεις μαργάρων δίκην τὰ πρὸς τοὺς πόδας ποικίλλουσι. τὰ ἐπίχειρα ταῦτα οὐχ ὥσπερ ᾿Αλεξάνδρῳ πλεονεκτικῆς ψυχῆς δείγματα, ἀλλὰ βασιλικῆς ἐξουσίας καὶ δυνάμεως χάριτες. καὶ πῶς γὰρ οὐ πλεονεκτικῆς, ὃς προκατάρχειν ἔγνω ἀδικημάτων, μηδὲ τὸν φυσικὸν ὅρον, τὸν ῾Ελλήσποντον λέγω, τὴν ὁρμὴν αὐτοῦ ἐπισχεῖν ἔχοντα; οὐδὲ γὰρ Ξέρξην ἀποχρῶν λέγειν τὸν ὑπερήφανον ἀμυνόμενον ταῦτα*

15–16 Hom. Δ 175

32 – p. 33, **1** ··*ταῦτα ἐκεῖνον*·· (i. e. *ἐκεῖνον ταῦτα*?) **V**

ἐκεῖνον ἐργάσασθαι· καὶ τί γὰρ ἔδει ζηλοῦν τὸν Ἕλληνα βάρβαρον; τί δὲ τὴν τῶν ἡττημένων ἀκρασίαν τὸν κατὰ κράτος νενικηκότα ἐν τοῖς ἐκείνων καλοῖς ἐπιδείκνυσθαι; ἀλλὰ γὰρ κάνδυν ὑπέδυ καὶ τιάραν ὀρθὴν καὶ προσκυνεῖσθαι κατὰ θεὸν ὑπὸ τῶν φίλων ἠνείχετο καὶ ὅσα θρύπτεσθαι Πέρσαις ἐξῆν ἐνησέλγαινεν ὁ πόνοις Ἑλληνικοῖς καὶ βίῳ λιτῷ τε καὶ σώφρονι τῇ τῶν ὅλων ἀρχῇ ἐπιστάς· οὔκουν εὐτυχίας ταῦτα δωρήματα, πλεονεκτικῆς δὲ φιλοτιμίας γνωρίσματα. ὑμῖν δέ, πανάγαθε βασιλεῦ, τοσοῦτον ἀφιλοτίμως ἔχει τὰ δρώμενα ὅσον καὶ πλεονεξίας ὡς πορρωτάτω καθέστηκεν. οὔτε γὰρ τοῖς ἐκείνων ἀγαθοῖς τὸ σεμνὸν ὑμῖν διὰ σπουδῆς περιγίνεσθαι — τίς γὰρ μετουσία φωτὶ πρὸς σκότος, ἢ πρὸς Χριστὸν τοῦ Βελιὰρ συμφώνησις; — οὐδὲ τοῖς οὐδὲν ὅλως προσήκουσιν ἐπάγειν κελεύεις τὴν στρατιάν, ἀλλὰ τοῖς ἦν ὅτε τῷ Ῥωμαίων ὑπαγομένοις ζυγῷ καὶ τῇ σιδηρᾷ ῥάβδῳ ἀνεχομένοις ποιμαίνεσθαι, εἰ καὶ ῥαστώνῃ ποιμένων τοῖς λύκοις ἔκδοτα κατέστη τὰ ποίμνια, ὥσπερ ἂν εἴ τις καὶ κλήρου πατρῴου μεταποιούμενος.

Ταύτῃ τοι σκεύη κεραμέως τῇ ὑμετέρᾳ βασιλείᾳ τὰ πρὶν στερρά τε καὶ φοβερὰ ὑπόκειται συντριβόμενα, καὶ τῷ γε περιόντι τῆς πρὸς τὸ θεῖον ὑμῶν θεραπείας καὶ ταῖς τοῦ σοῦ κατὰ πνεῦμα θείου πατρός τε καὶ ἀρχιποίμενος πρὸς τοῦτο ἐντεύξεσιν ἐπὶ ἀσπίδα εὖ οἶδ' ὅτι καὶ βασιλίσκον τὰ τῶν ἐχθρῶν ἐπιβήσῃ συστήματα, καὶ τῇ ὑπὲρ Εὐφράτην Συρίᾳ κατὰ τὸν ἐκ Βηθλεὲμ ψάλλοντα ἐπιβαλεῖς τὸ ὑπόδημα, ἀλλόφυλον αὐχένα τῷ σῷ λαμβάνων ποδὶ συμπατούμενον. ἐξανέστησε γάρ σε κέρας σωτηρίας θεὸς τῷ οἰκείῳ λαῷ τοῦ δοῦναι τὴν αὐτοῦ γνῶσιν ἔθνεσιν ἀπειθοῦσιν ὥσπερ αὐτῷ καὶ ὑμῖν, καὶ καταφυτευθῆναι πάλιν

12–14 2Cor. 6, 14–15 || **16–17** Ps. 2, 9 || **20** ib. || **24–25** Ps. 90, 13 || **26–27** Ps. 107, 10 || **27–28** cf. Iosue 10, 24 || **28** Lc. 1, 69 || **29** ib. 77 || **30** – p. 34, **1** Ex. 15, 17

16 ῥάβδῳ Ld: ῥάμβω **V**

εἰς ὅρος κληρονομίας αὐτῶν τὰ φῦλα Χριστιανῶν, καὶ πόλεις ὅλας καὶ θεοῦ ναοὺς ὥσπερ ἀναβιῶναι εἰς ἔπαινον δόξης αὐτοῦ, εἰς καύχημα τῆς εἰρηνοποιοῦ βασιλείας ὑμῶν, ἣν καὶ προβιβάζοι πρὸς τὰ ἀμείνω ἀεὶ ὁ πάντα συμφερόντως διεξάγων θεός, πρεσβείαις τῆς ἀειπαρθένου καὶ θεοτόκου αὐτοῦ μητρὸς καὶ πάντων αὐτοῦ τῶν ἁγίων.

2–3 Eph. 1, 6; 12

63

Δημηγορία ἐπιτραπέζιος τῇ ἡμέρᾳ τῶν ἁγίων φώτων, ἐν τοῖς ιθ ἀκουβίτοις

In festo Luminum (d. 6 Ian.) praesentibus imperatore et patriarcha laudat sobriam simplicitatem eius cenae cum mensa Domini comparandae, laudat virtutes imperatoris et fortunam eius in clade Saracenorum a Cappadocibus fusorum manifestam, Leonis pietate et patriarchae precibus quaesitam. eam victoriam a. 900 attribuit Jenkins, orationem Epiphaniae a. 901.

Ἐπαινῶ μετὰ τῶν ἄλλων τῆς βασιλικῆς εὐταξίας καὶ 130v *τὴν παροῦσαν ἱερὰν πανδαισίαν· καὶ γάρ ἐστιν ὡς ἀληθῶς ἱερὰ καὶ βασιλείου λαμπρότητος ἔμπλεως, ὑφ' ᾗ τοσοῦτος μὲν ἱερέων θεοῦ καὶ ἀρχιερέων θεσπέσιος σύλλογος καὶ πολιᾷ σεμνῇ καὶ φρονήσει πολιᾷ προσηκούσῃ τετιμημένος, τοσοῦτος δὲ τὸν τῆς ψυχῆς πλοῦτον ὁ τούτων καθηγεμὼν καὶ πατριάρχης τῷ ὄντι, πατέρων πνευματικῶν καὶ ποιμένων προβεβλημένος, μᾶλλον δὲ γνησιώτερον φθέγξασθαι, ἱερῷ Χριστοῦ σώματι ἱερωτέρα κεφαλὴ συναρμολογούμενος, προκάθηται δὲ βασιλεύς, τίνος μὲν οὐκ ἀποστίλβων τῆς σωματικῆς ὡραιότητος χάριτος, τίνας δ' οὐκ ἀποστάζων σταγόνας γλώσσης ἡδίστας καὶ διαχέαι ἀποχρώσας πᾶν εὐαγὲς θέατρον, εἴτε τὸ χαῖρον ὡς νῦν ἐπιτεινούσας καὶ πρὸς εὐθυμοτέραν προβιβαζούσας κατάστασιν, εἴτε τῶν σκυθρωπῶν ἄγαν καὶ στυγνοτέρων πᾶσαν ὑπεκλυούσας κατήφειαν;*

Καί μοι δοκῶ τοὺς ταῦτα διαθεμένους ἀρχὴν καὶ τῷ μετ' αὐτοὺς παραδόντας αἰῶνι μηδὲν εἰκῇ μηδέ τι τῶν ἄλλως βασιλέως ἐνυπάρχον ὁρᾶται βίῳ καὶ διεξάγεται· οἷς

63 V – Jk-Ld-Mn pp. 34–36 || 15 *εἴτε* **Ld:** *εἴς τε* **V || 20** post *εἰκῇ*] fort. suppl. *πρᾶξαι, ἐπεὶ* | *τῶν*] fort. *τὴν*

δὲ τὸ κράτος λαβόντες ἀφ' οὗ λαβεῖν ἐστιν ἀνθρώποις ἀνόθευτον εἰκόνες ἐν γῇ τῆς ἐκείνου μεγαλειότητος κατεστάθησαν, εἰκότως γε δὴ αὐτῷ τοῦτο τὸ προκείμενον ἔργον ἀνακαθαιρόμενοι εἰς κοινὸν ἡμῖν ἅπασι τὴν ἱερὰν ταύτην προὔθεσαν πανδαισίαν. ἐπεὶ κἀκεῖνος ὁ ὑπερπλήρης, ὁ ὑπερούσιος, ὁ καθαρὸς καὶ πάσης ὑπερανεστηκὼς ἁγιότητος, ᾧ μηδὲν τῆς νοερᾶς πλησίον θειότητος — τί γὰρ ἂν τῷ ποιητῇ τῶν ἑαυτοῦ κτισμάτων τὴν φύσιν ὁμότιμον; — ὡς οὖν ἐκεῖνος, ἄνωθεν τῶν πατρῴων ἀκενώτως ἑαυτὸν κόλπων κενώσας καὶ τὴν ἐμὴν τοῦ προβάτου δορὰν δέλεαρ τῷ διώκοντι ὁ ποιμὴν ὁ καλὸς περιθέμενος, τῷ βαπτιστῇ σήμερον μετὰ τῶν ἄλλων παρῆν Ἰωάννῃ, τῷ ὑπ' ἐκείνου βαπτίσματι φιλοσοφῶν τὴν ταπείνωσιν, οὕτω καὶ νῦν ὁρᾶτε, ὦ παρόντες, ὁ τῶν κάτω καὶ καθ' ἡμᾶς ὑπ' ἐκείνου τὸ ἄρχειν λαχὼν καὶ οὗ τὸ κράτος ἀνακεχώρηκε πᾶσαν τὴν ἀνθρωπίνην εὐγένειαν, βαβαί, συνέστιος ἡμῖν ἀνδράσι πένησι καὶ πτωχοῖς ὅσον εἰς σώματος χρείαν τελεῖ καὶ ὁμοτράπεζος δείκνυται. τί τούτου βασιλικώτερον ἴδοι τις ἂν ἢ μεγαλοπρεπέστερον; τραπέζης, εἰ μὴ τολμηρόν, θείας ἐνάμιλλον τὸ βλεπόμενον. ὅπου γὰρ σύνοδος ἱερέων θεοῦ καὶ συνεδρεία, ταῖς τῆς μυσταγωγίας στολαῖς ἄλλοθεν ἄλλου τὴν σωφρονεστάτην καταστράπτοντος στιβάδα, καὶ κόρος μὲν καὶ τρυφὴ τῶν ἐδεσμάτων ἐξώρισται, μακρὰν δὲ καὶ ἡ τούτων ἔκγονος ὕβρις ἐλήλαται, νῆψις δὲ ψυχῆς καὶ μνήμη τοῦ πεποιηκότος διηνεκὴς τοὺς δαιτυμόνας εὐφραίνουσα ἀντεισάγεται, ἐκεῖθεν τῶν ὑμνῳδῶν τὰ τῆς ἡμέρας σεμνολογούντων, ἐντεῦθεν πάλιν ἄλλων τοῖς θεοτερπέσιν ᾄσμασιν ἀντηχούντων, μικρὸν οἶμαι τῆς θείας ὑπαλλάττον τοῦτο τραπέζης καὶ ὅσον ὅτι μὴ θῦμα τῆς καινῆς ἡμῶν τελετῆς ὁ εὐλογούμενος ἄρτος ψυχὰς τρέφων καὶ τελειῶν καὶ πρὸς μέτρον ὅλως πνευματικῆς ἡλικίας ἀναδιδόμενος,
131r *ἀλλὰ πρὸς ἔκκρισιν | φυσικὴν τὸ περιττὸν τούτου καὶ τὸ τῇ φύσει ἀποικονομούμενον παραπέμπεται. νῦν ἡμῶν πᾶσα*

31 Eph. 4, 13

πρᾶξις, πᾶν ἐπιτήδευμα Παύλῳ τῷ σοφῷ ῥυθμιζόμενα εἰς δόξαν τοῦ πεποιηκότος μετάγεται. οὐκέτι ψυχὴ διὰ τῶν αἰσθητηρίων τοῖς ἔξω διαρρεῖ καὶ σκεδάννυται, ἀλλ' ἕλκει πρὸς ἑαυτὴν πᾶν ὅ τι τίμιον καὶ τερπνότατον εἰς τὴν ὑπακοὴν αἰχμαλωτίζειν Χριστοῦ ἐπισπεύδουσα. ἤδη καὶ σοί, σοφώτατε βασιλεῦ, τὰ παράσημα τῆς ἀρχῆς θεῷ μετανέμεται καὶ τελευτᾷ σοι ἡ πολυτελὴς αὕτη καὶ πολυήμερος εὐωχία εἰς δόξαν θεοῦ καὶ συγκαθαίρῃ τὴν προλαβοῦσαν εὐπάθειαν τῷ σήμερον ἡμῖν καθαιρομένῳ Χριστῷ, ὃν οὐρανόθεν θεὸς μὲν πατὴρ υἱὸν ἀγαπητὸν μαρτυρεῖ, πνεῦμα δὲ θεῖον ἐν εἴδει περιστερᾶς καταπτάμενον τῷ συμφυεῖ αὐτῷ τε καὶ πατρὶ ἐπαγάλλεται.

Ἀλλὰ τὰ μὲν κοινά σοι καὶ πρὸς τοὺς ἄλλους οὓς ἡμῖν ἡ αὐτὴ ἀνυπεύθυνος ἀρχὴ ἔγνωκεν. τίνα δὲ τῶν σῶν τὰ ἐξαίρετα, βραδὺς μὲν ἅπας λόγος εἰπεῖν, ἄπορος δὲ καὶ ῥήτωρ γλώσσῃ διατρανῶσαι, καὶ νοῦς ἀμηχανεῖ καὶ ὁ θεωρητικώτατος, καὶ διάνοια τοῖς ἀνεφίκτοις ἐγχειροῦσα κενεμβατεῖ καὶ πρὸς ἑαυτὴν ἀποπάλλεται, τρόπον ἄλλον ἐλεγχομένη ὃν οἱ πρὸς ἀβάτους ἀναρριχᾶσθαι κρημνοὺς προθυμούμενοι. οὔτε γάρ σου τὸ συμπαθὲς καὶ μειλίχιον φθάνει τις ἐξαγγεῖλαι, οὐ τὸ λιτόν τε καὶ ταπεινὸν ἐκλαλῆσαι, οὐ τὸ προμηθὲς ὑπογράψαι, οὐ παραστῆσαι τὸ οἰκονομικόν, ᾧ πᾶσα πρᾶξις καὶ κίνησις ἀνθρωπίνη λαμβάνει τὸ κράτος καὶ πρὸς τὸ οἰκεῖον τέλος καὶ τὸν σκοπὸν ἀπευθύνεται. τὸ γάρ τοι πέλαγος τῆς σοφίας καὶ τὸ τοῦ νοῦ περιδέξιον καὶ ἀγχίστροφον, καθ' ὃ μνήμη τε καὶ ὀξύτης ἐντρέχειά τε καὶ σύνεσις ἐνστρεφόμενα τέχναις καὶ ἐπιστήμαις τὰς ἀφορμὰς ἐνδεδώκασιν, οὐδὲ κἂν ἐπινοίᾳ λαβεῖν ῥᾴδιον, μὴ ὅτι γε καὶ εἰπεῖν.

Τοσοῦτος σὺ καὶ τηλικοῦτος, παγγάληνε βασιλεῦ, τὸ

1–2 1Cor. 10, 31 || **4–5** 2Cor. 10, 5 || **9–12** Mt. 3, 16–17; Mc. 1, 10–11; Lc. 3, 21–22

12 ἐπαγγάλλεται **V**

καθ' ἡμᾶς εὔδαιμον καὶ μακάριον· εἰ δέ τι καὶ τύχης ἡμῖν πρὸς τοῦτο δεῖ καὶ τῆς ἄλλης ἔξωθεν εὐετηρίας, ἐπεί γε καὶ δεῖ δοκοῦν τοῦτο τοῖς θύραθεν ἑστῶσι σοφοῖς, ἔστι καὶ τούτων ἀμύθητος ὅσος ἑσμός. Καππαδόκαι τῷ λόγῳ παρέξουσι τὸ πιστὸν καὶ τὰ κατὰ Σαρακηνῶν αὐτῶν ἔναγχος τρόπαια, τοιαῦτα γεγονότα καὶ οὕτω τὸ μεγαλουργὸν ἐπιφαίνοντα οἷα βραχέα ὁ μακρὸς αἰὼν ἐκολπώσατο. ἐξὸν γάρ σοι θελήσαντι μόνον καὶ πᾶν τὸ ἐμποδὼν καταστρέφεται καὶ πᾶν τὸ ἀνθεστηκὸς ὡς ἐκ προσώπου πυρὸς ἀφανίζεται καὶ πᾶν ἡττᾶται τὸ ἀπειθοῦν καὶ πάντα φόβου μεστὰ καὶ πάντα τὴν σὴν ἄμαχον ὑποπτήσσονται ῥώμην. τὸ γὰρ τὰ ὑπόσαθρα καὶ ὀστράκινα σκεύη τῇ σιδηρᾷ ῥάβδῳ ὑποτιθέμενα, αὗταί σου τῆς εἰς θεὸν πίστεως αἱ ἀμοιβαί, τοῦτο ἡ πρὸς τοὺς αὐτοῦ ἱερέας αἰδὼς καὶ ὑπόπτωσις, τοῦτο τῶν πολλῶν σου δακρύων ἃ ταῖς συντόνοις προσευχαῖς ἀπορραίνων τὰ πρὸς τοὺς πόδας ἀφθόνως πηγάζεις τὸ ἀναφαίρετον κέρδος, τοῦτο τοῦ πνευματικοῦ σου τοῦδε πατρὸς ἡ διὰ προσευχῶν συνεργία. εἰ γάρ τι τῷ παλαιῷ λόγῳ πιστέον 'ἀνδρὶ' φάσκοντι 'ἀδελφὸς παρῇ', ἐπιτευκτικώτερον οἶμαί που υἱῷ πατέρα παρεῖναι καὶ συμπονεῖσθαι καὶ συνευφραίνεσθαι. τούτῳ γὰρ ἔδρασας καὶ ταῖς αὐτοῦ πρὸς τὸ θεῖον ἐντεύξεσιν, ἀλλὰ καὶ δρῴης πᾶν
131v *εἴ τι τῷ βίῳ καλὸν καὶ τοῖς ὑπὸ χεῖρα | τὰ καταθύμια, τεύξαιο δὲ καὶ τῶν ἐκεῖθεν νικητηρίων στεφάνων, ἔνθεν φωνὴ ἀγαλλιάσεως καὶ ἦχος ἑορταζόντων χαρὰν ἀκατάλυτον, ὧν καὶ ταῦτα τὰ κατὰ γῆν σκιαί τινες ἀμυδραὶ καὶ ἀπηχήματα καθεστήκασιν, ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν.*

21 mg. *τούτῳ*] *ἀντὶ τοῦ 'διὰ ταῦτα'* **V**

1–3 Aristot., Eth. Nic. I 9, 1099a 31–b7 || **9–10** cf. Ps. 67, 3 || **12–13** Ps. 2, 9 || **19** CPG I 219; II 16 || **25** Ps. 41, 5

12 fort. *γὰρ* ⟨*συντρίβεσθαι*⟩ (*γὰρ* in fine lin. **V**)

64

Δημηγορία ἐπιτραπέζιος ὑπὸ παρουσίᾳ Λέοντος βασιλέως τῇ ἀναμνήσει τῆς πατριαρχικῆς ἀναβάσεως Νικολάου πατριάρχου

Nicolaum patriarcham alloquitur in festo Orthodoxiae eodemque primo anniversario patriarchatus eius (d. 14 Febr. 902). dicit eum a Leone imperatore alterum monumentum ecclesiae in concordiam redactae constitutum esse, praeter prius illud quod paulo ante in adyto templi illustris posuerit auro et lapidibus pretiosis et gemmis decorum.

Καὶ τοῦ καιροῦ τὴν ἐνεστῶσαν ἀγάμενος ἑορτήν, καὶ σὲ πάλιν τὸν δι' ὃν ἡ πανήγυρις ἐκπεπληγμένος τῆς ἀρετῆς, μέσος ἀμηχανίας καθίσταμαι, οὐκ ἔχων ὁποτέρῳ προσνείμω τὴν τῶν προαιρουμένων ῥοπήν, ἴσως ἐφ' ἑκατέρῳ τὴν γνώμην μετακλινόμενος, τοῦ μὲν λύειν τὴν γλῶτταν τῷ καιριωτάτῳ τῆς ἡμέρας ἐπείγοντος, τοῦ δὲ ἐπέχειν παρεγγυῶντος καὶ μὴ τοῖς ὑπὲρ δύναμιν ἐπεκτείνεσθαι, ὅτι μηδὲ τοῦ καθ' ἡμᾶς λόγου τηλικαύτην ἀρετὴν ἐξυμνεῖν. ἀλλὰ γὰρ νικάτω, κἂν εἴ τι συμβαίη, τὰ τοῦ καιροῦ, πάντας οἶμαι τοῖς προκειμένοις ἐρεῖν τι τοὺς καλῶν φιλοθεάμονας ἐφελκόμενα καὶ βασκανίας αἶσχος τῇ σιωπῇ ἐντριβόμενα· τὸ γάρ τοι τῶν καλλίστων ἀπέχεσθαι καὶ ὧν ἡ μετουσία φαύλην ἐλέγχειν ἐπίσταται τὴν ἐγκράτειαν, φθόνου γραφὴν ἐνδίκως ἂν τῷ μὴ κατὰ καιρὸν φιλοσοφοῦντι πορίζοιτο.

Οἶδε γὰρ ἅπας οἷα τὰ τοῦ καιροῦ καὶ ὅσα τὰ τὴν πανήγυριν φαιδροτέραν ἡμῖν ἐργαζόμενα. κρηπῖδι καὶ ὑποβάθρᾳ ταύτῃ γε δὴ κέχρηται τῇ ἡμέρᾳ καθ' ἣν τὸ πρῶτον ἑβδοματικὸν δίαυλον τῶν καθαρσίων τε καὶ ἀναγωγῶν ἡμερῶν

64 V – Jk-Ld-Mn pp. 36–37 || 18 οἶδε Jk: ἴδε V

διαπερανάμενοι τῇ προθυμίᾳ τοῦ δρόμου τὴν τῶν βραβείων δόσιν ἐπιμετρούμεθα· καὶ γὰρ ἵσταται βραβεὺς τῶν ἡμετέρων ἀκριβὴς καὶ ἀτάλαντος ὁ κατ' αὐτὴν ἐκ νεκρῶν ἀναστὰς θεάνθρωπος Ἰησοῦς καὶ φιλάνθρωπος, ὃς οἷς τῷ ἡμετέρῳ νενέκρωται νεκροῦν ἡμῖν τὰ μέλη τὰ ἐπὶ γῆς εἰσηγούμενος, οἷς τῆς φθορᾶς ἐξανίσταται πρὸς ἀφθαρσίαν μεταστοιχειοῦσθαι χαρίζεται. ἐν ταύτῃ καὶ προφητῶν ἐκτελεῖσθαι μνημόσυνα θεῖοι καὶ παλαιοὶ διηγόρευσαν νόμοι καὶ σύνοδος ἐκείνη ἡ ταῖς Χριστοῦ ἐκκλησίαις τῶν ἱερῶν μορφωμάτων ἀναστηλοῦσθαι τοὺς τύπους ἐθέσπισεν. ἀκμάζει τε ἤδη καὶ ἀνηβᾷ ταῖς ἐπεισόδοις τῆς καινῆς ὑμῶν ταύτης πομπῆς τε καὶ πανηγύρεως, καὶ νεαρὰν αὖθις τὴν ἡδονὴν ἐπιδείκνυται τῷ συγκραθῆναι τοῖς παλαιοῖς τὰ νεώτερα, εἰς τὴν αὐτὴν ἡμᾶς χάριν τοῖς ἐξ ἀρχῆς ἐπανάγουσα.

Τοιαύταις καὶ τοσαύταις ἱερωτάταις καλλυνομένη βαθμίσιν ἡ θεοτελὴς ὑμῶν αὕτη πανήγυρις ἥδρασται, ἐν ᾗ καὶ ἐχρίσθης ἐλαίῳ ἀρχιερατικῷ τῆς ἀγαλλιάσεως καὶ τὸν ὑψηλὸν τοῦτον ἀναβὰς καὶ ἐπίφθονον θρόνον, εἰ μή τι μέγα εἰπεῖν, θεὸς ἐν μέσῳ θεῶν ἐγκαθίδρυσαι καὶ λύχνος φωτὸς ἔμπλεως ἀκηράτου ἐπὶ τὴν ἱερὰν ἀνατέθεισαι λυχνίαν, πυρσεύειν ἐντεῦθεν καὶ καταλάμπειν τὸ ἱερὸν ἅπαν Χριστοῦ πλήρωμα, οὐ συντυχίᾳ τοῦτο συμβὰν ἀλογίστῳ, οὐκ αὐτομάτῳ φορᾷ πραγμάτων συνενεχθέν, οἷα πολλὰ τὰ ἡμέτερα καὶ ἀνθρώπινα, ἀλλ' οἷς ἄνωθεν ἔγνω μὲν καὶ προώρισεν ὁ ἐκ μήτρας ἱεροτελεῖν ἐπιστάμενος καὶ ἐκ
132r σπαργάνων προφήτας ἐθνῶν προχειρί|ζεσθαι, ἐπὶ νοῦν δὲ καὶ νῦν τὰ κεκριμένα βασιλεῖ θέμενος, οἷς ὁ λοιπὸς τῶν ἐκκρίτων συνέπαινος ὅμιλος κυροῦν τὰ δεδογμένα παρασκευάζει τοῖς πράγμασι, τοῦ μὲν τὴν ἀρχὴν ἐνδιδόντος οἷς αἱ τῶν τοιούτων ἀρχαὶ φιλοῦσι καθίστασθαι, τοῦ δὲ τὸ πέρας ἐπάγοντος καὶ τῆς τοῦ διδόντος θεοῦ χρηστότητος ἄξιον καὶ τῆς τοῦ καθυπουργοῦντος ἐπαινουμένης θερμότητος. ἔδει γὰρ ἔδει τὸ πάσης σεμνότητος

4–6 Col. 3, 5 || **17** Ps. 44, 8 || **19** Ps. 81, 1 || **19–21** Mt. 5, 14–15 || **24–26** Ier. 1, 5

καταγώγιον τῷ καταλλήλῳ καιρῷ δοθῆναι θεῷ, ἢ θῦμα καθάπερ τῶν ἡμετέρων ἐξαίρετόν τι καλλιερούμενον, ἢ καὶ τῶν πολυτελῶν ἀρωμάτων εἰς ὀσμὴν εὐωδίας ἐκθυμιώμενον. τὰ μὲν οὖν ὅσα τῇ πανιέρῳ ταύτῃ τετέλεσται πανηγύρει χαρᾶς καὶ εὐφροσύνης γνωρίσματα χαίρειν ἐῶμεν, ὡς οὔτε λόγου τοῦ μεγαλείου τῶν πεπραγμένων ἐφικνουμένου καὶ ἅμα τῷ πάντα διατάττοντι μέτρῳ τὸ πάντῃ διοχλοῦν ἀποσκευαζόμενοι· ἀφ' οὗ γε δὴ καὶ τοσοῦτον ἐπειπὼν μόνον τὸ ἀπὸ τοῦδε καταπαύσω τὸν λόγον. πολλῶν ἐπεγνωσμένων τῇ ἱερᾷ ταύτῃ καθέδρᾳ καὶ τρόπων εὐθύτητι καὶ σοφίας πληρώματι καὶ δογμάτων ὀρθότητι πολλῷ τῷ περιόντι τοὺς ἄλλους πλεονεκτούντων, εἰ τούτοις δεήσει τὸν καθ' ἡμᾶς ἱεράρχην ἀντεξετάζεσθαι, ὁ χρόνος ἴσως τὸ ὑστεροῦν ἐπιδαψιλεύσοιτο· ἐπεὶ κατά γε τἆλλα, ὅσα γε κρίνειν ὀρθῶς, ἐκεῖνος τούτῳ τὰ δευτερεῖα προσνέμειν ἀνάσχοιτο ὃς τῆς αἰσθητῆς φύσεως καὶ ἐμψύχου τὰ δευτερεῖα δίκαιος ἀποφέρεσθαι.

Τοιοῦτον ὁ μεγαλόφρων σὺ καὶ σοφώτατος βασιλεύς, μηδὲν βλέπων μικρόν, μηδὲν ταπεινὸν καὶ τῶν χαμαὶ ἐρχομένων, τῇ καθ' ἡμᾶς πρᾶγμα γενεᾷ διῳκήσω, ὁ κρείττων τὸ κρεῖττον ἐξεργασάμενος. τοιαῦτα τῆς πόνῳ πολλῷ καὶ μόχθῳ κατορθωθείσης σοι ταῖς ἐκκλησίαις γαλήνης ὑπέστησας τρόπαια, τὸ μὲν μικρὸν ἔμπροσθεν, χρυσοῦ τι θαυμάσιον χρῆμα ἰδεῖν ψήφοις τιμίοις καὶ σφραγῖσι καταλαμπόμενον τοῖς τοῦ περιωνύμου ἀδύτοις νεὼ ἱδρυσάμενος, τὸ δὲ μετὰ ταῦτα, τὸν σεμνότατον τοῦτον ἄνδρα φημὶ καὶ θεόληπτον τοῖς τῆς ἱεραρχίας ἀψαύστοις ἐναποθέμενος, ὡς ἂν ᾖ τούτοις ἡμῖν καὶ τῷ μετέπειτα βίῳ τὸ μέγα τῆς εἰρήνης τοῦτο καὶ ὑπὲρ ἄνθρωπον ἔργον καταφανὲς καὶ ᾀδόμενον καὶ γλώσσαις ἁπάσαις εὐφήμοις καὶ στόμασιν ἀπὸ γενεᾶς, τὸ τοῦ ψάλλοντος, εἰς γενεὰν ἐγκαλούμενον.

19—20 cf. Hom. E 441 || **31** Ps. 9, 27; 76, 9; 84, 6

4 *τετέλεσται* Jk: *-το* V || 24 ante *ψήφοις*] *καὶ* eras. aut evan. V || 28 *ἡμῖν*] *ἡ-* ex *ὑ-* V

καὶ ὄναιο τῆς σπουδῆς ἀμφοτέρωθεν, ὧν μὲν τὸ θεῖον σεμνύνεις τῷ ἀναθήματι τῶν ἀκηράτων ἐκεῖθεν μονῶν τὴν ἀπόλαυσιν ἐκδεχόμενος, ὧν δὲ τὰ Χριστιανῶν ἐξαίρεις τε καὶ μεγαλύνεις τῇ τοῦ σοφοῦ διδασκάλου καὶ πατριάρχου ἐπιστασίᾳ τῶν τῆς Ῥωμαϊκῆς πολιτείας οἰάκων ἀκυμόνως τε καὶ ἀστασιάστως τὴν κυβέρνησιν εὐοδούμενος, ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

65

Δημηγορία ἐπιτραπέζιος τῇ ἑορτῇ Ἡλιοῦ τοῦ προφήτου, Λέοντος ἑστιῶντος ἡμᾶς τοῖς ἑαυτοῦ σώστροις· δεύτερος οὗτος ὁ λόγος τῆς κατ' ἀρχὰς δημηγορίας ἐλέχθη, ἐτάγη δὲ ὧδε

Ut ex titulo et initio apparet, altera haec est oratio ab Aretha eodem die quo prima *δημηγορία* (Op. 61) habita, h. e. 20 Iul. 902. post exordium miracula Eliae et Elisei percurrit; quae omnia tamen obscurari memoria illius diei qui imperatoris vitam in melius mutaverit, quo cum patre in gratiam redierit calumniatoresque confutati sint (a. 886).

Ὅτι μὲν εὐνοίας οἱ φθάσαντες λόγοι καὶ φιλικῆς ἔργον πίστεως καὶ θερμότητος ἃ τῷ σῷ παρ' ἡμῶν ἐπωφείλετο κράτει, παντί που δῆλον καὶ ἀναντίρρητον· σὺ γοῦν τί φής, πανάγαθε βασιλεῦ; ἆρά σοι ἱκανῶς καὶ τῆς ἐμῆς προθυμίας οὐκ ἐνδεέστερον τοῖς τοιούτοις ἐνήνεγμαι | λόγοις, ὡς 132v *καὶ πρὸς δεύτερον αὖθις ὑπαλειφθῆναι ἀγῶνα; ἢ κινδυνεύω σκαιός τις ἀναφανῆναι καὶ οἷς ἄλλοις ἔχω ἐπιτιμᾶν ἁλισκόμενος; ἀλλ' ἐμὲ πάλιν φίλτρον τὸ περὶ σέ, οὐκ οἶδ' ὅ τι καὶ δρᾶσαν, τὴν μὲν περὶ ταῦτα αἰδῶ, τάχα καὶ Ὁμήρῳ πειθόμενον τῷ σοφῷ, κατηνάγκασεν ἀποσείσασθαι, λαλίστερον δέ φασι τοῦ ἐν Δωδώνῃ χαλκείου τοῖς ὑμετέροις σεμνολογήμασιν εἴργασται, εἰ καὶ μὴ κατὰ χαλκὸν ἐμοὶ τὸ εὔηχον ὕπεστι. καὶ ὥσπερ οὐκ ἔνι τοῖς τὸν ἀέρα σπᾶν πεφυκόσι μὴ ἀναπνέουσι ζῆν, οὕτως οὐδ' ἔμοιγε σιωπῇ τὰ σὰ παρα-*

3–4 supra Op. 61 || **13–14** Hom. ρ 347 || **14–15** CPG I 162; II 774

65 V – Jk-Ld-Mn pp. 38–39 || **3** ἀρχ(ὰς) compend. V || **11** *σκαιός τις* (vel *εἰκαῖός τις*) Wk: *καὶ ὥστης* Ld: *καὶ ὅστις* V

τρέχοντι, οὐχ ὅπως τὰ νῦν ἐφ' ὑμῖν ἑορταζόμενα καὶ τῇ αὐτῶν ἡδονῇ πολλῷ τῷ μέσῳ τὴν πάλαι τῆς προκειμένης πανηγύρεως χάριν ἀποκρυπτόμενα (ταῦτα γὰρ ἤδη λαλεῖται καὶ τοῖς ἀνὰ πᾶσαν εὐφήμως τὴν γῆν, πόσῳ γε μᾶλλον ἡμῖν τοῖς οὕτως ἐξηρτημένοις τῶν σῶν), ἀλλ' εἴ τις καὶ φαύλη τούτων ἀφορμὴ παρεμπέσοι· τοῦτο γὰρ οἶμαι πάθος τῶν πρός τι δυσέρως ἐχόντων ἡ φύσις ἐπίσταται.

'Αλλ' ἄγε δή, τῶν τελουμένων γινόμενοι ἐχώμεθα τῷ λόγῳ ὧνπερ εἰκὸς ἐπιμνησθῆναι πανηγυρίζοντας· καὶ γὰρ ἄτοπον εἰ μόνοι τῶν ἄλλων ἡμεῖς, οἵ γε τοσοῦτον τῶν ὑμετέρων ἡττήμεθα, ἀργοὶ καὶ ἀσυντελεῖς ὦμεν τοῦ δέοντος. ἔχει μὲν οὖν τινὰ καὶ καθ' ἑαυτὴν ἡ τῆς παρούσης ἡμέρας λαμπροφορία τῶν ἡδονὴν ἐμποιεῖν εἰωθότων, προφητῶν γὰρ μύστου καὶ διδασκάλου ἡ τοῦ θεοῦ περιήγγειλε κατὰ ταύτην μνημόσυνον ἐκκλησία, καὶ προφητῶν ἐκείνων ὧν ζῆλος τῆς θεραπείας τοῦ κρείττονος καὶ πνεῦμα τοῦ διδασκάλου διπλάσιον τῷ μὲν τυράννου γνώμην ἐπέχειν παρεῖχε παράφορον· ἄνικμον οὐρανὸν τῇ γείτονι γῇ δι' ἀσέβειαν τῶν ἐνοικούντων καὶ αὖθις εἰς τὸ κατὰ φύσιν ἐπάνοδον· κόρακας, οὐ καθαροὺς μὲν τῷ νόμῳ, καθαροὺς δὲ τῷ πάντα κάλλιστα παραγαγόντι καὶ διατάξαντι λόγῳ, τροφῆς ὑπουργούς, ἵνα τραφῇ δίκαιος· χήραις γυναίοις μικρὰς καὶ βραχείας ψεκάδας ζωῆς ῥείθροις ἀεννάοις καὶ ποταμοῖς ὅλοις ἁμιλλωμένας εἰς χορηγίαν ἀνέκλειπτον· υἱὸν τῆς Σαραφθίας ἀπεσβηκότα τοῦ ζῆν τριττῷ ζωπυρούμενον ἐμφυσήματι· πυρὸς ἀπ' οὐρανοῦ ξένην καὶ παρὰ φύσιν ἐπίρροιαν πῇ μὲν ἐχθροῖς εἰς ἀπώλειαν, πῇ δὲ θυσίαις εἰς ὁλοκάρπωσιν· ἄσιτον ἡμέραις πολλαῖς ἰσχύϊ διαρκοῦντα μιᾶς βρώσεως· τέθριππον ἐκ πυρὸς τῇ κατὰ φύσιν φορᾷ

15–18 4Reg. 2, 9 || **18–20** 3Reg. 17–18 || **20–22** 3Reg. 17, 2–6 || **20** Lev. 11, 15; Deut. 14, 14 || **22–24** 3Reg. 17, 7–16 || **25–26** ib. 17, 17–24 || **26–28** 4Reg. 1, 9–12; 3Reg. 18, 17–40 || **28–29** 3Reg. 19, 5–8 || **29** – p. 45,2 4Reg. 2,11–12

11 ὑμετέρων Ld: ἡμετέρων V

αὐτῷ δίφρῳ καὶ ἡνιόχῳ καὶ ἵπποις ὡς εἰς τὸν οὐρανὸν ἀναθυμιώμενον. Ἐλισσαίῳ δὲ μηλωτῇ, σκύτει μικρῷ τε καὶ εὐτελεῖ, ἀλλ' οὖν διπλῷ τοῦ διδασκάλου χαρίσματι, Ἰορδάνης διΐστατό τε καὶ ἀνεκόπτετο· λέπρας ὁ Σύρος μὲν Νεεμὰν ἐκαθαίρετο, Γιεζὴ δὲ κληρονόμος ταύτης καθίστατο, μισθὸν τοῦτον φιλαργυρίας καὶ γλώσσης προφήτου παρακοῆς ἀνευρόμενος· ἀξίνη ταῖς Ἰορδάνου ῥοαῖς ὑποβρύχιος τῷ ἑαυτῆς στελεῷ ἀνελκομένη τρόπον μαγνήτιδος· τροφῆς θανατηφόρου μικρὸν ἄλευρον ἀπημαύρου τὸ δηλητήριον· υἱὸς μητρὶ Σωμανίτιδι καὶ παρ' ἐλπίδα γενόμενος καὶ παρὰ δόξαν ἀπογενόμενος εἰς δεύτερον αὖθις βίον ἐπι|γενόμενος· ναμάτων Ἱεριχοῦντος τὸ ἄγονον ἅλσὶ 133ʳ καὶ ὑδρίᾳ καινῇ ἐξιώμενον.

Καὶ τί δεῖ με πάντα τὰ ἐκείνων καταλέγειν τεράστια; ἀλλὰ γὰρ καίτοι τοσούτοις ἀνδράσι καὶ τηλικούτοις τὴν ἀρετὴν σεμνυνομένη ⟨ἡ⟩ πανήγυρις λαμπροτέρῳ τῷ κάλλει οὐδ' ἔστιν ὅσον εἰπεῖν καταστράπτεται οἷς ἀνάμνησιν φέρει τῆς ἀπὸ τῶν χειρόνων ἐπὶ τὰ κρείττω τοῦ σοῦ κράτους μεταγωγῆς καὶ τῶν σκυθρωποτέρων ἐπὶ τὰ φαιδρότερά τε καὶ θυμηρέστερα. αὕτη ἡ ἡμέρα, μετὰ τοῦ ψάλλοντος ἀναφθέγξασθαι, ἣν ἐποίησε κύριος, λύσας τὰ δυσχερῆ, τὸ νέφος τῆς κατηφείας εἰς εὐφροσύνην ἀποσταλάξας καὶ ἀγαλλίασιν. οὐκ ἄν τις ἁμάρτοι πάσχα τὴν ἡμέραν ταύτην κατονομάσας, εἴτε τὴν ἐξ Αἰγύπτου εἰς τὴν τῆς ἐπαγγελίας κατάπαυσιν, εἴτε τὴν ἐκ φθορᾶς εἰς ἀφθαρσίαν μετάβασιν, ἐν ᾗ τὸ σκότος τῆς ἀθυμίας ἡμῖν λύεται καὶ φῶς ἀναλάμπει χαρμόσυνον, θάλασσα συμφορῶν διαρρήγνυται καὶ πεζεύει μὲν πυθμένα πελάγιον ὁ ἐμὸς Ἰσραήλ, κατάστασίν φημι βίου ἀδόκητον, ὁ τῶν ὑπεναντίων δὲ λαὸς ἐπικλύζεται· ἔρημος ἡμεροῦται καὶ τιθασσεύεται,

2–4 ib. 2, 14; 9 || **4–7** ib. 5, 1–27 || **7–9** ib. 6, 4–7 || **9–10** ib. 4, 38–41 || **10–12** ib. 4, 8–37 || **12–13** ib. 2, 19–22 || **20–21** Ps. 117, 24 || **24–25** Ps. 94, 11; Heb. 3, 11

13 ὑδρίᾳ Wk: ὑδρεία **V** || **16** ἡ Wk: om. **V**

καρδίαι τὸ πρὸς τὴν σὴν δεσποτείαν σκληρὸν ἑαυτῶν καὶ δυσήνιον εἰς εὐπειθὲς καὶ εὐάγωγον τῷ ἡνιοχεῖν τεταγμένῳ μεταρρυθμίζουσαι· γῆ τῆς ἐπαγγελίας κληροδοτεῖται, θρόνος βασίλειός τε καὶ πατρικὸς ἐκ καρποῦ τῆς τοῦ προκατασχόντος ὀσφύος κληρονομούμενος· ἄρτος ὕεται, ζωῆς ῥήματα οἷς ψυχαὶ τρέφονται θεοῦ προχεόμενα στόματος· λόγων ἀναστομοῦνται πηγαί, τὰ τέως μεμυκότα τῆς σοφίας καὶ οὔποτ' ἂν ἐλπίδα τῷ κεχηνέναι ὑποτεινόμενα ἐντεῦθεν ἀνερρώγασιν ὕδατα· τὰ πάλαι τεθνηκότα τῶν λόγων ἀνίσταται ὄργια, καὶ πρὸς δεύτερον εὐσταθῆ βίον πάντα μετάγεται καὶ τῇ κρείττονι διαθέσει τὸν τῆς ἀφθάρτου τρόπον ζωῆς ὑποδύεται (τὸ γὰρ λογικῶς διαιτᾶσθαι καὶ λόγον ἡγεῖσθαι παντὸς ἔργου καὶ πράγματος εἰκὼν οἶμαι τῆς ἀφθάρτου μακαριότητος)· τοῖς μαθηταῖς ὁ λόγος παρρησιάζεται, καὶ βασιλεὺς οὗτος, θεοῦ σοφίας καὶ χάριτος ἔμπλεως, πόσαις ἤδη πολυτελέσι καὶ ἱεραῖς πανδαισίαις προκαθεζόμενος τῆς μὲν τῶν ἐδεσμάτων ἡμᾶς πείθει κατολιγωρεῖν ἀπολαύσεως, τὴν δὲ τῆς θεοπνεύστου γραφῆς ὑπανοιχθεῖσαν τοῖς πάλαι πλευρὰν ταῖς τρανοτέραις τῶν ἐννοιῶν ἐπαφαῖς ἀνευρύνειν προΐσχεται, αὐτὸς προκαθήμενος, αὐτὸς κατάρχων τῶν σοφῶν ἐγχειρήσεων, αὐτὸς παραβύων τοὺς νωθεστέρους ἡμᾶς τῇ τῆς στενῆς τῷ ὄντι καὶ τεθλιμμένης εἰσόδῳ γραφῆς. οὐκέτι μοι συνωνεῖσθαι βιβλία φροντίς, τὴν τῶν βιβλίων δίψαν ἀπεσκοράκισμαι· σοῦ γὰρ ἡμῖν ἁπάντων ἀγαθῶν καταβαλλομένου τὰ σπέρματα καὶ ἡ ἡμετέρα δίδωσι γῆ ἀνάλογον τῷ σπορεῖ τε καὶ σπέρματι τὸ γεώργιον.

Τοσούτων ἡ παροῦσα κρειττόνων μαιεύτρια, τοσούτων χαρίτων παραίτιος· αὕτη τεθέαται ἡ ἡμέρα, τὸ ποθεινὸν ἅπαντι τῷ ὑπηκόῳ πρᾶγμά τε καὶ ἐράσμιον, τὰς πανηγύρεις τῶν ἀγαθῶν τὸ κεφάλαιον κατευμεγεθούσας, τὰς βασιλείους προόδους τῇ τῆς τριάδος λαμπρότητι φαιδρυνο-

3 Heb. 11, 9 || **4–5** Act. 2, 30 || **5–6** Io. 6, 68 || **22–23** Mt. 7, 14

9 ὕδατα Wk: ἄδυτα **V** || **16** πόσαις Wk: πάσαις **V**

μένας, οὐκέτι | δυάδι τὴν διαίρεσιν ὑπεμφαινούσας ἀλλὰ 133v *τριάδι τὴν ἕνωσιν εἰσηγουμένας, υἱὸν ἀγαθὸν ἀγαθῷ πατρὶ παραθέοντα, υἱὸν ὃς πατρὶ στόμασι διεβέβλητο ἀχαλίνοις καὶ ὅσον εἰς τὴν ἐκείνων ἧκεν συκοφαντίαν τοῖς τεθνεῶσιν ἐξεταζόμενον, αὖθις ὥσπερ ἀναβιοῦντα καὶ τῷ ἀρχαίῳ κάλλει καὶ ἀξιώματι περιανθιζόμενον, εὐγενῆ κλάδον καὶ βλάστημα χερσὶ μιαιφόνοις καὶ παλαμναίαις ὅσον οὔπω τοῦ οἰκείου καὶ κραταιοῦ στελέχους ἀποδρυπτόμενον, οὐ μέντοι καὶ κατὰ κράτος τῶν πονηρῶν ἐκνενικηκότων, ἀλλ' ὅσον, εἰ μὴ μέγα τὸν τοῦ θεανθρώπου τρόπον εἰπεῖν, τῶν δυσχερεστέρων ἀπογευσάμενον τῇ κατ' αὐτὸν πείρᾳ μετρεῖν τοῖς ὑπὸ χεῖρα τὸ σύγγνωστον, εἰ καὶ πολὺ τὸ ὑπόδειγμα κατόπιν, οὔμενουν ὅσον σταθμήσασθαι ῥᾴδιον, τῆς νῦν ὑπούσης ὑμῖν εὐμενείας καὶ ἡμερότητος.*

Ὦ πόση τοῦ πλήθους βοὴ τότε χαρμόσυνος, πόσος τῶν συνεληλυθότων κρότος εὔφρόσυνος, ἡλίκος ἦχος ἀγαλλιάσεώς τε καὶ ἐξομολογήσεως. συνεκεράννυτο καὶ δάκρυον τῇ χαρᾷ καὶ κατηφείας ἐκτὸς τὰ ῥεῖθρα τῶν ὀφθαλμῶν ἀπελείβετο. οἶδε γὰρ οἶδε καὶ τὸ κατ' ἄκρας ἡδὺ τὰ τῆς ἀνίας ὑφίστασθαι, οὐ πεφυκυίας εἰς ἅπαν ἀτρεμεῖν τῆς θνητῆς φύσεως οὐδ' ἀμιγὲς τῶν ἐναντίων τὸ ἀντίπαλον διασώσασθαι, τῷ δὲ μηδὲν ἄγαν ὑφαιρουμένης τὴν ἀμετρίαν ἀεὶ τὰ γινόμενα. ὑπεθερμαίνετο μὲν νεότης καὶ πωλικὸν ἐφρυάττετο, τὸν ἥλικα βλέπουσα τῷ πατρικῷ κράτει συνεμπομπεύοντα, ἔχαιρε δὲ καὶ ἀνδρῶν καὶ τῶν καθεστηκότων συστήματα τὸν εὐφρανοῦντα τούτους ἀπολαμβάνοντα· ὑπεκίνει καὶ γῆρας τὸ θέαμα καὶ σκιρτᾶν ἠρέμα πως ὑπετίθετο καὶ τοὺς ὅρους ὑπερπηδῆσαι τῆς φύσεως, τὸν ἐν φρονήσει τὴν πολιὰν ἐξανθεῖν ἐγνωκότα τὸ ἁλουργὲς κράτος προφαῖνον ἀναβαλλόμενον. θάλασσαν ἦν ὁρᾶν τὸ πλῆθος, ἄλλον ἐπ' ἄλλον ἐγειρόμενον καὶ διανιστάμενον καὶ τοῦ κατόπιν ἀεὶ τὸν προεστῶτα ἐπίβασιν καὶ ὅλον τῆς θέας τῶν τελουμένων γινόμενον καὶ τῇ τῆς χαρᾶς ἕκαστον διαχύσει ἐκεῖνα σπεύδοντα τῶν κυμάτων μιμεῖσθαι τὰ ἐξ-

3 Eurip., Bacch. 386 || **9–12** Heb. 4, 15

14 *ὑμῖν*] fort. *ἡμῖν*

αφρίζοντα ἅπερ τῷ γείτονι σκοπέλῳ νότος κινήσας προσρήγνυσι καὶ τῆς ὁρμῆς ἵστησιν. ἅμα τε γὰρ ἦν ἰδεῖν τὸν ποθούμενον καὶ πέρας τὸ κατεπεῖγον ἐλάμβανεν.

Ἡ μὲν οὖν ἡμέρα ἐν τούτοις συνετελεῖτο καὶ κατελύετο. ἐμὲ δὲ τί ἂν αὐτῆς ἀφέλοιτο τοιοῦτο τὴν ἡδονήν, οὐκ ἔχω εἰπεῖν, εἰ μή πού τις ἄρα τῷ μέτρον ἐπάγειν τῷ λόγῳ τῇ χρείᾳ συστέλλεσθαι πεφυκότι καὶ παρεκτείνεσθαι ἐξημβλωκέναι με ταύτης νομίσοι τὴν χάριν, κακῶς οὗτος εἰδώς. ἀλλὰ τὸν μὲν λόγον ἐν τούτοις ἀναπαυτέον τοῖς πράγμασιν ἀπολήγοντα· καὶ εἴης ἡμῖν, πανάγαθε βασιλεῦ, τῆς ἑορτῆς τὸ κεφάλαιον, εὐχαῖς τοῦ συμπαρεδρεύοντος ὑμῖν πνευματικοῦ πατρός τε καὶ ἀρχιποίμενος εἰς μακρότητα διαρκῶν ἡμερῶν, πραότητι καὶ δικαιοσύνῃ καὶ ἀληθείᾳ περιστεφόμενος, καὶ πᾶσι τοῖς κρατίστοις ἐνευπαθῶν τε καὶ εὐθηνούμενος· τὴν χάριν δὲ τῶν ἐκεῖ τελεσθέντων οὐδεὶς πάντως φθόνος τῇ ἡμετέρᾳ συμπαραπέμπειν ζωῇ, καὶ τότε ἀπολήγειν εἰδέναι ὁπηνίκα καὶ τὰς περὶ τοῦ σοῦ κράτους
134r *καταπαύσωμεν | προσευχάς, ἀνάγκῃ φύσεως καὶ χρέει πᾶσιν ἀπαραιτήτως ὀφειλομένῳ ὑπείκοντες, ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.*

10 fort. ⟨συν⟩απολήγοντα

66

Νικολάῳ πατριάρχῃ ἔτι διάκονος ὤν, ἀνθ' ὧν Νικολάου τοῦ Ξυλομαχαιρίου ἐπίκλην ψεύδους ἁλόντος ἐφ' οἷς κατεῖπεν οὐ τῆς ἀξίας τετίμητο διὰ τὴν συκοφαντίαν

Anno priore quam haec epistula scripta est, Arethas apud iudicium ecclesiasticum a Nicolao quodam Xylomachaerio impietatis accusatus defendentibus Christophoro Cyziceno episcopo et Ioanne Rhabducho absolutus erat; de qua re brevius et planius exponit infra Op. 72 p. 109,12–110,8 Nicolaus iam tum patriarcha iudicio praesederat (p. 50,3–4, 51,20–22), unde efficitur ea facta esse magno sabbato (d. 11 Apr.) a. 901; nunc eum Arethas precibus et opprobriis aggreditur, querens delatorem, infimum hominem, cum se nobilem locupletem bene meritum vanis criminibus calumniatus esset, nimis indulgenter habitum incolumem evasisse, poscensque ut tandem merita caecitatis poena affectus exemplum aliis edat.

Λύσιν ἐκείνην εἰδὼς τοῖς τῶν ἀρρωστημάτων ἀφανεστέροις, ἐπειδὰν τοὺς ἔχοντας ἴδωμεν ἐν ἀδήλῳ φυλάττειν τὸ βλάπτον κατερραθυμηκότας, οὐκ ἐπὶ μετρίου ἔτι τὴν νόσον ἱστᾶν βουλομένην, ἀλλ' ἐπ' αὐτὰ τὰ καίρια διαβιβάζειν ἐπείγεσθαι τὸ κακὸν καὶ ἐπὶ τὸ ἀνήκεστον προάγειν τὸ ἀλγεινόν· — τοῦτο συμβαῖνον ἐπὶ τῶν νωθεστέρων εἰδώς, ἵνα μὴ ταὐτὸν ἐκείνοις σφαλῶ, ἐξαγορεύω τὸ πάθος ἐγώ, ὃ χθὲς καὶ πρώην τὸν ἔσω κατειληφὸς ἄνθρωπον οὐκ ἐπὶ μικροῖς δοκῶ μοι τὴν νόσον περιστήσειν ἀλλὰ καὶ τοῖς μεγίστοις τὸν ὄλεθρον ἀνατείνασθαι, ὡς ἂν ἤτοι θεραπευθείην τὸ διοχλοῦν ἢ τὸ ἀπευκτότατον βεβαιωθείην. εἰ δέ τι καὶ δριμυτέροις σὺν τόλμῃ τε καὶ τραχύτητι χρήσαιτο

66 V – Jk-Ld pp. 294–298 || **13** *μικροῖς* Wk: *νεκροῖς* **V** || **14** *ἤτοι*] *ἤ-* ex *εἴ-* **V**

τὸ ἀλγοῦν ῥήμασι, συγγνώμη τῷ πάθει, οὐ κακονοίᾳ, μνήμη δὲ τῶν πεπραγμένων τὸ ἕλκος προχεῖν βιαζόμενον.

Λόγων γὰρ συκοφαντίας κατ' ἐμοῦ στρατευσαμένων ὑπὸ σοὶ δικαστῇ καὶ τῷ ἱερωτάτῳ συλλόγῳ, καὶ οὕτως δυσέλεγκτον ὡς ἔδοξα τότε καὶ παράβολον τῶν πλασαμένων τὸ ἀναιδὲς ἐπιδεδειγμένων ὥστε μικροῦ δεῖν κἀμοὶ τὸ ἀμφίδοξον ἐμποιῆσαι μή πού τι καὶ ὄναρ ἡμάρτηταί τί μοι τοιοῦτον ὅπερ ὁ ἐκείνων ἐβούλετο λῆρος, ὀψὲ μὲν ἀλλ' οὖν ἤγαγεν εἰς μέσον ὁ τοὺς σοφοὺς τῇ αὐτῶν πανουργίᾳ δρασσόμενος τὸ ἀπόρρητον, συνέσει βαθείας φρενὸς καὶ γράμμασι δικαίας χειρὸς αὐτὴν κατασείσας τὴν τῆς γλωσσαλγίας ἀκρόπολιν, καὶ τῷ τοῦ στόματος αὐτοῦ πνεύματι ὡς ἄχυρον ἐκφυσήσας καὶ τῆς ἀληθείας παραπέμψας τοῖς ἄνθραξι. κἀγὼ μὲν μετέωρος ἦν τὸ ἀπὸ τοῦδε εἰς τόνδε, τὸ Ἀττικὸν βάραθρον, τὸν Λακωνικὸν κατὰ τοῦ συκοφάντου κεάταν ἤ τι τῶν ἀπηνεστέρων τε καὶ φοβερωτέρων ἐλπίζων ἀναρραγῆναι· οὐδὲ γὰρ ἂν ἄλλως τὴν ἀξίαν τὸ πονηρὸν οὕτω θηρίον ὑποσχεῖν καὶ ἀλλόκοτον. ἔλαθον δέ, τοῦτό γε δὴ τὸ πολύ, λύκος εἰς μάτην χανὼν καὶ σκιὰν ὀνειροπολήσας καπνοῦ· οὐδὲν γὰρ οὐδὲν πλέον τοῦ γνώσει τὸ ψεῦδος ἠμπόληκα παραδοθῆναι· ἔνθα με καὶ πολλοὶ κατῳκτίσαντο τῶν ἐπιεικείᾳ βιοῦν προελομένων, κατηλέησαν δὲ καὶ οἷς εὐγνωμοσύνη ἐπιμελές, καὶ μετ' ἐμοῦ τὸ ἀγανακτεῖν καὶ τῆς πρὸς σέ μου φιλίας καὶ πίστεως συνηρίθευσαν τὴν ἀπόγνωσιν. τί δ' ἄν τις εἴποι τῶν φιλαιτίων τὰ σκώμματα, οὐκ ἀλόγως οἶμαι δακνόντων οἷς ἐπιτωθάζειν ἐβούλοντο, καλὸν τὸ ἔπαθλον φασκόντων τῶν πόνων, καλὸν τὸ βραβεῖον; πρόσθες καὶ ἄλλο, τῇ περὶ τοῦτον πίστει τε καὶ φιλίᾳ οὐδὲ νῦν ἡ βασκανία κατάφωρος, οὐδ' ὅτι φθόνος, οὐκ εὔνοια τὸ τῆς ἐγχειρήσεως. καὶ τί ἂν λέγοιμι τὸν ἄλλον ὄχλον τῶν λόγων ᾧ καὶ γενναία

4–8 cf. Plat., Apol. 17a2–3 || **9–10** 1Cor. 3, 19 || **10** cf. Pind., Nem. 4, 8 || **12** Ps. 32, 6 || **12–13** cf. Iob 21, 18 || **13–14** cf. Is. 5, 24 || **18–19** CPG I 273; II 121 || **19–20** CPG I 425; II 177

2 προχεῖν] -χ- potius quam -σχ- **V** || **11** αὐτὴν Ld: αὑτὴν **V**

ψυχὴ ἔκαμεν ἂν βαλλομένη, πρὸς δὲ καὶ | προσαυξόντων 134[v]
ἀεὶ τὴν ὑπόνοιαν τῶν πραγμάτων;

Ἀλλ' ὅτι μὲν λῆρος ταῦτα μακρὸς καὶ τῆς κατ' ἐμοῦ συκοφαντίας οὐδέν τι φαυλότερον ἐξειργασμένος, καὶ νῦν μὲν ἴσως οὐδὲν δεῖ με μαθεῖν, τρανότερον δ' οὖν καὶ ἀσφαλέστερον εἰδείην, ἐπειδὰν οὗτος ὁ μιαρὸς καὶ ἀλάστωρ τῶν ἀπαισίων τόκων πατὴρ τοῦ ψεύδους ἀποτίσῃ ποινήν· ἕως ἂν μηδὲν ᾖ τοιοῦτον ἐμοί, ὀκνῶ μὴ καὶ προσθήκῃ ταῦτα τῶν πέρυσιν ἀπηγγελμένων μείζω τὴν ὑπόληψιν καταστήσῃ· ἐπεὶ καὶ ἀπηγγέλη (τίς γὰρ ἔτι αἰδώς;) πρὸς ἡδονῆς γίνεσθαι τῇ ὑμῶν δεσποτείᾳ πᾶσαν τοῦ συκοφάντου κατ' ἐμοῦ βλασφημίαν διεξιόντος. τεκμήριον δέ· ὑπὸ σοὶ γὰρ ἀκροατῇ τὸν ἄθεον ἀποκαλοῦντός με καὶ εἴ τι τοιοῦτον ἄξιον ἑαυτοῦ (ἠμύνατο γάρ με δικαιοσύνης συνήγορον ὅσα καὶ δικαιοπραγίαν αὐτήν) μηδαμῶς ἀνακοπῆναι τὴν τόλμαν, ἀλλ' ἐντρυφᾶν τούτῳ ἐφίεσθαι, ἀνθρώπῳ ἀφανεῖ τε καὶ καταπτύστῳ, ταῖς κατ' ἐμοῦ λοιδορίαις, ἀνδρός, ὡς ἂν ἴσως ἄλλος ἐρεῖ, πρὶν ἢ πιστεῦσαι φιλίᾳ καὶ πλούτῳ καὶ γένει, τἆλλα ὅσα τὴν κάτω εὐετηρίαν κρατύνεται, ἐπὶ τοῖς καλλίστοις γνωριμωτάτου. εἰς τοῦτο γάρ με τυχὸν Ἀδραστείᾳ Νεμέσει τὸ τῆς τύχης μετάρροπον ἐξεκύλισεν καὶ ἡ πρὸς τὸν ὑψηλόν σοι θρόνον ἀνάβασις, εἰ καὶ μηδὲν τούτων ἐχρῆν τὸν ἐμὸν ἡγεμόνα, τὸν γνώστην καὶ τῇ θείᾳ τραπέζῃ καὶ μυστικῇ γλυκάναντά μοι τὸν φάρυγγα, παρορᾶν, μηδ' ὄνειδος ἄφρονι δίδοσθαί με μηδ' ἐπ' ἐμοὶ σαλεύειν αὐτῷ κεκριμένον τὸ τῆς δίκης ἀτάλαντον καθυβρίζεσθαι, ὅτι μηδ' εἶχέ τι τῶν εἰς τοῦτο φερόντων καταιτιάσασθαι. εἰ δὲ καὶ παρορῴη καλῶς γε ποιῶν — τί γὰρ οὐκ οἰμώζων ἡσύχαζον; τί δ' οὐχὶ τοῦ καιροῦ ὑπέστελλον ἐμαυτόν, ἀλλ' ἐθάρρουν φιλίᾳ, τῶν ἀφροδισίων φασὶ κατ' οὐδὲν ὅρκων ἀμείνονι; — ἀλλὰ γὰρ εἰ τοῦτό μοι ἀγώνισμα τῆς εἰς σὲ πίστεως καὶ ἀνυποκρίτου ἀπέκειτο φιλίας, ἀγωνοθετοῦντος ὡς ἔοικε τοῦ τῶν πολλῶν φθόνου ἐν βασκανίας θεάτρῳ (ὃ κἂν ἄλλος ἐπιχειροίη, ἐχρῆν τὴν ὁρμὴν ὑφ' ὑμῶν

24 Prov. 24, 13 || **25** Ps. 38, 9 || **30–31** CPG I 221; II 53

ὑποτέμνεσθαι), ἐγὼ μὲν ἀπέχω τὴν χάριν. καὶ τί γὰρ πέρα τούτων ἐπιζητεῖν, ὁπηνίκα, κατὰ τὴν τοῦ κυρίου φωνήν, ἡ τῶν πολλῶν μὲν ἀγάπη ψυγῇ, τὸ δὲ τῶν ἀνταποδιδόντων ἀγαθῶν ἀντεισενεχθῇ τὰ κακὰ πλήρωμα, μάλιστα δὲ καὶ χάριν εἰδέναι καὶ ἀγαπᾶν ὅτι μὴ καὶ χείροσι, καὶ εἰ μηδὲν τούτων ἐστίν, ὑποβληθείην; τί γὰρ ἂν καὶ χεῖρον, τιμῆς ἐμοὶ τῆς ὅλῳ βίῳ συναυξηθείσης ὑπό γε βασιλεῦσι καὶ πατριάρχαις ἁγίοις ἑῴᾳ τε λήξει καὶ ἑσπερίῳ, αἳ τὰ τῶν ἐμῶν πόνων ἀνεμερίσαντο ἔργα καὶ ἀριστεῖα, νῦν ἀπροφασίστως διολωλυίας, ἑνὸς μόνου τοῦ βούλεσθαι τοὺς μοχθηροτάτους κρατήσαντος; θέλει γὰρ οὕτως (καὶ τί γὰρ ἄλλο εἰπεῖν;) ὁ προκαθεζόμενος. καὶ τίς λόγος οὕτω δραστήριος, τί δαὶ παραμύθιον ὅσα καὶ σπόγγος ἐκπίνειν εἰδὸς τὸ λυποῦν, τὰς περὶ τούτων ἐμοὶ προλήψεις τοῖς ἀντικαθημένοις μεταρρεῖν ἀναγκάσοντα; καὶ πῶς γάρ, οὐκ οὔσης λοιπὸν ῥιτίνης ἐν Γαλαάδ, τὸ τοῦ ἱεροῦ γράμ-
135r *ματος, οὐκ ὄντος ἰατροῦ, λόγου φημὶ φαρμάκοις | δικαιοσύνης καθαρτικοῖς τε καὶ ἀπουλωτικοῖς τὰ τῶν ἀδίκως πασχόντων δεσμοῦντος συντρίμματα;*

Σκοπεῖν γὰρ εἴ μοι τὴν ἄλλως καὶ τούτοις δυσφορεῖν περιγίνεται. λέγεται κατ' ἐμοῦ καὶ συντίθεταί τι τοῖς συκοφάνταις; ἑστῶσιν ὁ λόγος ᾠσὶν ἀληθέστερος τῶν ἐπὶ Σάγρᾳ, κρατεῖ ταῖς ὅλαις ὁ δῆμος ὁ ἱερός, ποιναὶ καὶ τιμωρίαι τὰ τέλη καὶ ἡ Φαλάριδος ἐπὶ τούτοις ἀρχή. πεφώραταί τι τῶν κατ' ἐμοῦ ψεῦδος καὶ τῆς τῶν συκοφαντούντων ἐπάξιον ἐργολαβίας; πολὺς ὁ περὶ συγγνώμης λόγος τοῖς κρίνουσιν καὶ ἡ τοῦ ἐμοῦ Ἰησοῦ μακροθυμία, τὰ πρόχειρα ταῦτα καὶ τοῖς ἀλλοτρίοις φιλοσοφήματα πάθεσιν, ἐπεὶ κάθηνται πικροὶ τῶν καθ' ἑαυτῶν λογισταί, ἐλαίῳ τότε, τὸ παροιμιῶδες, τὴν Ἰησοῦ μακροθυμίαν ἀλείψαντες καὶ πρὸς τῇ καταπόσει τῆς καμήλου τὸν κώνωπα διυλίζοντες. καίτοι γε οὐδ' οὗτος πάνυ ὁ φιλανθρωπότατος Ἰησοῦς τοῖς

2–3 Mt. 24, 12 ‖ **16–17** Ier. 8, 22 ‖ **22–23** CPG I 36; II 142 ‖ **29–30** cf. Plat., Resp. III 398a7 ‖ **31** Mt. 23,24

22 post *ᾠσὶν* sign. interr. **V**

ἄγαν κακοῖς εὐμενίζεται, ἀλλὰ καὶ νέοις καὶ παλαιοῖς κολάζειν ἀποθεσπίζει τοὺς ἁμαρτάνοντας καὶ λόγοις καὶ ὑποδείγμασι, καὶ μὴ τὴν τούτων συγγνώμην ἑτέροις καταλιπεῖν ἀσυνέτοις παράκλησιν, θεοῦ δὲ ἀρετὴν ὑπερβαλέσθαι, τοῦτο δὴ τὸ σοφώτατον τοῖς πολλοῖς, οὐκ ἔχω λέγειν ὅποι τε φέρον καὶ πῶς.

Τοιοῦτοι μὲν οὖν ἐπ' ἐμοὶ κριταὶ καὶ τοῖς ἐμοῖς ἀτυχήμασι· καὶ τὸ ἐντεῦθεν σκηνὴ τὰ πάντα καὶ εἰρωνεία καὶ δορυφόρημα καί, ἵν' ἐπιτετευγμένως ἐρῶ, ἡ Πλάτωνος τοῦ Ἀρίστωνος πόλις. ἀλλὰ γὰρ 'μὴ τέκταινε ἐπὶ σὸν φίλον παροικοῦντά σοι καὶ πεποιθότα', τοῦτο ἐκεῖνο τὸ φορτικόν, μηδ' οἷς ἡ τύχη, μᾶλλον δ' ἡ τὸ πᾶν ὑπέστησε πρόνοια, πεφιλοφρόνηται τὸν ἀνεύθυνον, αὐτὸς ἡ μόνη ἐλπὶς ἐμποδὼν ἤδη καθίστασο. ἀνερεθίζειν γὰρ κατὰ μισοῦντα, ἀλλ' οὐκ ἐπιστομίζειν τοὺς διαβόλους, ᾗ θέμις δικαίᾳ φιλίᾳ, τοῦτό ἐστιν, οὐδὲ τοῖς φίλοις προθύεσθαι, ὅπερ ὁ καὶ φίλοις καὶ κόσμῳ παντὶ προτυθεὶς εἰσηγήσατο, ἀλλ' οὐ τοὺς φίλους τοῖς μιαιφόνοις προΐεσθαι σφάγιον. δότω ποινὴν ὁ συκοφάντης, μαθέτωσαν δι' ἑνὸς ὑποδείγματος οἱ λοιποὶ πλανώμενοι σύνεσιν, δεσμοῦντες τὴν γλῶσσαν οἷς οὐχὶ χρή, ἀλλὰ μὴ λύοντες. οὐκ ἀμώμητος ἡ τοσαύτη συγγνώμη παρά γε κριταῖς ἐπιστήμοσιν, εἰ μὴ καὶ πολὺ τὸ ἀσύγγνωστον τίκτουσα. ἀπόνιψαί μοι τὰς χεῖρας, εἰ καὶ μὴ κατὰ Πιλᾶτον, ἀλλ' οὖν τὰς ὑποψίας δικαίῳ ἐξαθῳούμενος ὕδατι. μὴ συγχείσθωσαν ἐφ' ἡμῖν παλαιοὶ νόμοι καὶ καλῶς ἔχοντες, μηδ' ἀμβλυώττοι δικαιοσύνη περὶ τὸν σπουδαῖον καὶ ἄδικον· ὡς ἔστιν ἄτοπον τῷ μὲν οἰκέτῃ μικρόν τι τῆς περὶ ἡμᾶς ὀλιγωρήσαντι θεραπείας ἀμέλειαν ἐγκαλεῖν καί που καὶ μάστιξιν αὐτοῦ πειρᾶσθαι τὸ νωθρὸν τῆς ψυχῆς ἀποξέειν, ἡμᾶς δὲ αὐτοὺς οἴεσθαι δικαιοσύνην αὐχμηρὰν καὶ ῥυπῶσαν περιορῶντας τῇ ῥᾳθυμίᾳ τὸ περιδέξιον ἡμῖν περιποιεῖν ἀρετῆς καὶ τὸ τοῖς πᾶσιν ἀπόβλεπτον, ἀλλ' οὐκ αἰσχίστους ἑαυτοὺς καὶ

10–12 Prov. 3, 29 || **16–18** Io. 15, 13 || **19–20** Is. 29, 24 || **23–24** Mt. 27, 24

στυγητοὺς ἀποφαίνειν, καὶ πρό γε τῶν ἄλλων θεῷ τῷ τοῖς οἰκείοις ἐναποθνήσκειν ἕκαστον ἀπειλοῦντι κακοῖς καὶ τοῖς 135v *ἔργοις ἀντιμε|τροῦντι τὴν ἀνταπόδοσιν, καὶ τῶν ἐκεῖθεν πολλῶν δεομένοις πληγῶν ἀνθ' ὧν ἐπιγνώμονες τοῦ δεσποτικοῦ καταστάντες θελήματος ἀγνώμονες περὶ τὸ ποιεῖν ὤφθημεν.*

Οὐκ ἔστι τῶν ἐλλογίμων οὐδ' οἷς αἰδὼς τὸ προσκρούειν παρομαρτεῖ ἡ καινὴ τοῦ παρόντος παρεύρεσις. ἄνθρωπος μιαρός, ἀνώνυμος, ἀνωνύμων, ὄλεθρος τῶν ἐκ τριόδων, μὴ κατορχήσαιτο τοῦ ἁγνοτάτου ὑμῶν κριτηρίου, μηδὲ τοῖς ἐσομένοις οὗτος ὑπολειπέσθω τῶν σῶν κατορθωμάτων προστησόμενον λάλημα. εἰ δέ τις ταῖς ἐμαῖς συμφοραῖς τὸ εὐσταθὲς τοῦ ἤθους καὶ ἄτρωτον ἐπιδείκνυται, σοφὸν μὲν οὗτός τι δρᾷ, δεδόσθω γὰρ καὶ φθόνος οὐδείς· ἔμοιγ' οὖν ἄπορον εἰ καὶ σὺν λόγῳ καὶ ὅσον οἴεται, ἀντεστραμμένων αὐτῷ τῶν πραγμάτων ἐκ τοῦ μηδ' οἷς μηδ' ὧν προσῆκε χαρίζεσθαι, εἴπερ ἀφιέναι τοῖς ἑαυτῶν ἀλλ' οὐ τοῖς ἀλλοτρίοις ὀφειλέταις ἡ προσευχή· πλεονεξία γὰρ ἄντικρυς ἀφ' ὧν οὐκ ἐξὸν λαμβάνειν χρηστεύεσθαι καὶ τοῖς ἀλλοτρίοις ἐντρυφᾶν ἀγαθοῖς τῷ ἑτέροις ἀποκειμένῳ φιλοτιμούμενον κατορθώματι. ἐγὼ μὲν οὖν, ἀπαρακαλύπτως εἰπεῖν, δευσοποιῷ τῇ αὐτοῦ πονηρίᾳ βαφεὶς σοῦ βουλομένου, ἂν μὴ τὴν ἐντρέχουσαν ἀπαλείψῃς τῇ δικαιώσει ὑπόνοιαν, καθάπερ ἠτέκνωμαι ἀφ' ὑμῶν, τὸ τοῦ Ἰακὼβ φάναι, ἠτέκνωμαι καὶ ἀνέκπλυτος ἔσομαι τὸ εἰσέπειτα. εὖ δ' ἴστω ἡ ἱερὰ ὑμῶν κορυφή, οἷς ἕνα με τῶν μικρῶν ἐσκανδάλισας, ἐζημίωσαι, εἰ μέν τι καὶ ἄλλο, λέγειν ὀκνῶ φειδοῖ τῶν βλασφημοτέρων, ὃ γοῦν τοῖς νῦν διὰ σπουδῆς, περισαίνουσι τὸ τῆς φιλίας ἔαρ, εἰς πρόσωπον δούς με λοιμοῦ καὶ τοὺς ὅσοι τῶν ἄλλων τοῖς ἐμοῖς συναλγύνονται πάθεσιν. ὃς γὰρ ἂν ἡσυχάσειν καιροῦ δραττομένους τῶν

1–2 Io. 8, 21; 24 || **2–3** Ps. 61, 13; Prov. 24, 12; Rom. 2, 6; Apoc. 2, 23; 22, 12 || **3–6** Lc. 12, 47 || **17–18** Mt. 6, 12 || **22** cf. Plat., Resp. IV 429e1–2 || **24–25** Gen. 43, 14 || **26–27** Mt. 18, 6; Mc. 9, 42; Lc. 17, 1–2 || **27–28** cf. Mt. 16, 26

κατὰ σοῦ τούτους δοκῇ, οἷς ἔργον νενόμισται κυκᾶν ἅπαντα καὶ κακοῦν τὸ ἀκρότατον, ἐπικεχείρηται δὲ καὶ τῇ ἀρχαιρεσίᾳ τῇ σῇ (οἶδε θεός, ἐπίσταται καὶ ὁ ἠτιμωμένος), καὶ μηδὲ τὸν καθεστῶτα πρὸς τοῦτο τῆς εὐδαιμονίας ὑμῶν ὄγκον εὐλαβουμένους ὅση γε δύναμις ὃς τούτων βουλῆς ἐστὶ τὸ πιστὸν παραιρεῖσθαι, γνώμης ἁμαρτάνει βελτίστης, ὡς ἥ τε πεῖρα καὶ πρᾶξις τὴν τῶν παρόντων ἐλέγξει λόγων ἀλήθειαν, γυμνὸν προμάχων ἀπολαβοῦσα τὸ θήραμα. κἀγὼ μὲν τοῦτο δέομαι καὶ παρίεμαι πρὸς οἷς οὐ τετίμημαι, δέον τὸν φίλον καὶ ἀγαθὸν οὐδ' ἔστιν εἰπεῖν ὅσον ἀξιώτερον ἄλλων, ἀλλ' ἠτίμωμαι, ὃ καὶ λησταὶ λοχῶντες οὐχ ἧττον διέθηκαν, ἐκεχειρίας ἤδη τυχεῖν μηδὲ περαιτέρω με τοῖς ἀνιαροτέροις ὠθεῖν ἀλλ' ἐπὶ χώρας μένειν ἐᾶσθαι, κἂν τούτῳ μοι τὸ φιλόσοφον ὑμῶν ἐπιδεικνυμένων τοῦ ἤθους καὶ ἄτρωτον. εἰ δ' ἄρα, μισθὸν ἀποτίνοντα τοῦτον τῆς ἐλευθερίας καὶ παρρησίας, ἃ καὶ ὑμῖν ἦν ὅτε περὶ πολλοῦ, οὐδὲν οἶμαι δεινὸν ἅπαξ ἀπομματισθέντι τυφλῷ ἐν σκότῳ διαφέρειν τὸ τοῦ βίου ὑπόλοιπον καὶ δεῖγμα προκεῖσθαι τοῖς ἄλλοις ἀνθρώποις φιλίας ἀκραιφνοῦς τε καὶ πίστεως.

6 ἐστί] leg. vid. ⟨μή⟩ ἐστι

67

136r *Λέοντι βασιλεῖ ἐναρχομένης τῆς διὰ τὸν τέταρτον αὐτοῦ γάμον παρασχεθείσης ὑπὸ τῆς ἐκκλησίας ἀπροβούλως ἀταξίας*

Epistula ad Leonem VI data quarto matrimonio iam contracto (post Pascha a. 906), cum Arethas propter eam rem ex aula secessisset. rogat ut Leo bene monenti sibi oboediat; fallere enim eos qui dicant rem minoris momenti esse, in qua non de dogmate sed de vita agatur. si ea compares, dogmate falso nemini noceri, vitae macula totam ecclesiam funditus corrumpi. nec se curare quod in hac re paucos secum stantes inventurus sit, semper enim bonos numero inferiores fuisse; respiciendos Ioannem Baptistam, Maccabaeos, Chrysostomum, qui non pro dogmate aliquo, sed pro vitae puritate occiderint. haec neminem latere, istos tamen scientes conivere. gravissimum autem malum fore quod deterrimus quisque imperatoris exemplo ad similia impune committenda abusurus sit.

‘Λόγος σοφὸς εἰς εὐήκοον οὖς’, ὁ σοφώτατος παρεγγυᾷ Σολομών, καὶ ‘λόγοις σοφῶν παράβαλε σὸν οὖς’· ἐμοὶ δὲ τῆς αὐτῆς ἔργον εὐχῆς ἀκοῦσαί τε λόγον σοφὸν καὶ σώφροσιν ἀκοαῖς καὶ εὐγνώμοσι παραθέσθαι τὰ λεχθησόμενα· οὔτε γὰρ κυβερνήτῃ, κἂν ὅσῃ δὴ χρήσαιτο τῇ τέχνῃ, κέρδος οὐδὲν ἐπειδὰν διαρρέοντι τῷ πλοίῳ τὴν ἐμπειρίαν ἀπασχολῇ, οὔτε διδασκάλῳ σοφῷ περιγενήσεταί τις ὄνησις κατὰ πετρῶν, τὸ τοῦ ἐμοῦ φάναι θεοῦ, σπείροντι καὶ εἰς ἀνέμους, τὸ παροιμιῶδες, τὸ τοῦ λόγου φιλοπονοῦντι γεώργιον. ὧν μὲν οὖν τυχεῖν ἡ εὐχή, τοῦτο, καὶ πάλαι καὶ

4 Prov. 25, 12 || 5 Prov. 22, 17 || 11 Lc. 8, 6; cf. CPG II 48 || **11–13** CPG I 31; II 9

67 V – Jk-Ld pp. 298–303

νῦν· ἃ δὲ τοῖς ἀνεπιστάτως ἢ καὶ ἄλλως κακεντρεχείᾳ τρόπων ληροῦσιν ὡς ἂν πολλοὺς συναρπάσαντες τῶν ἀκεραιοτέρων ἔχοιεν συλλήπτορας τοῦ κακοῦ καὶ συνασπισμὸς αὐτοῖς συγκλύδων ἀνθρώπων ἀλλ' οὐκ ὀρθὴ κρίσις καὶ δόγμα σεμνὸν τὸ κράτος περιποιῇ, ὃ καὶ μείζω τὴν καταδίκην πορίζειν ἐπίσταται τυφλοῖς ὁδηγοῦσι τυφλοὺς καὶ πρὸς τὸν ὅμοιόν τε καὶ ὅσιον ἐπισπεύδουσιν ὄλεθρον — ἃ πρὸς τούτους εἰπεῖν ὁ τοῦ θεοῦ ζῆλος παρώρμησε καὶ τὸ τοῖς νωθεστέροις ὑπ' αὐτῶν τῷ τῆς ἀγνοίας καθιέμενον πελάγει θανάτου πρόξενον δέλεαρ φωρᾶσαι καὶ διελέγξαι, τοῦτο δὴ μόνον ἐπιπνοίᾳ κατανύσας κρειττόνων πρὸς ἑαυτὸν τὸ λοιπὸν ἐπανάξομαι.

Πυνθάνομαι γάρ τοι τοὺς πάντα περὶ τῶν ἐνεστώτων σοφοὺς τὴν ἀγοράν τε περινοστοῦντας καὶ ὁποιουσδήτινας τόπους ἑτέρους διδάσκειν ἀπηρυθριακότως τολμᾶν μηδὲν τῶν προκειμένων, μηδ' ὧν αὐτοὶ σοφῇ προμηθείᾳ πάντας ἀνθρώπους σκανδάλων ἀνέπλησαν, ἐλέγχοις τε περιτροπῆς ἁλισκόμενοι καὶ χαμαιλέοντος τρόπον πρὸς τοὺς παρατυχόντας μεταχρωννύμενοι, μηδὲν τούτων μηδαμῶς εἰς σκάνδαλον ἀναφέρειν μηδὲ τὴν ἀπὸ τῆς κατ' αὐτοὺς ἐκκλησίας ὑποστολὴν κατὰ τὸ εὔλογον αἰτιώμενον· οὐδὲ γὰρ αἵρεσις τοῦτο, φασίν, οὐδ' ὅσα τῶν ἀνηκέστως τῶν πιστῶν τοῦ πληρώματος τὴν κατατομὴν ἐπαγγέλλεται, τὸ δ' ὑπὲρ τοιούτων ἀποπηδᾶν τῆς αὐλῆς καὶ τῷ καθ' ἑαυτὸν ὑποδείγματι καὶ ἄλλους ἀποκρίνειν εἰς μοῖραν ἀντίπαλον, ἄλογον. τοιαῦτα γὰρ ἀπύλωτα φθέγγονται στόματα μήθ' ἑαυτοὺς εἰδότων μήτε περὶ ὧν διαβεβαιοῦνται ἐχόντων τι παριστᾶν εὔλογον. ἔγωγ' οὖν οἶμαι λέγειν μέν τι αὐτούς, οὐ μέντοι γε καὶ ὅσον βούλονται· τοσοῦτον γὰρ αἵρεσις κατόπιν τοῦ ἐνεστῶτος κακοῦ, ὡς ἔστι καὶ ἐκ τῶν ἱερῶν ὑποτιμημάτων τεκμήρασθαι, ὅσον ὁ πάντα ἐξακριβῶν λόγος

6–7 Mt. 15, 14; Lc. 6, 39 || **26** Aristoph., Ran. 838 || **28–29** cf. Plat., Reip. I 329e6–7

14 *ὁποιουσδήτινας* Wk: *ὁποιδήτινας* **V** || **22** *φασίν* Wk: *φησὶν* **V** | *ὅσα τῶν* = *τῶν ὅσα*

136v σταθμοῖς ἀπαρεγκλίτοις | καὶ μέτρων δικαίοις ἡμῖν ἐπιδείξεται. ἀλλά μοι πρὸ τούτου δοκῶ τὸ τοῦ μακαρίου Δαυὶδ προσφόρως αὐτοῖς ἐπιφθέγξασθαι· ‘υἱοὶ ἀνθρώπων, ἕως πότε βαρυκάρδιοι; ἵνα τί ἀγαπᾶτε ματαιότητα καὶ ζητεῖτε ψεῦδος; ἕως πότε κρίνετε ἀδικίαν;’ καὶ εἴ τι λοιπὸν ὁ λόγος αἰδοῖ τῶν βλασφήμων ὑποστελλόμενος, μέχρι τίνος ἐπὶ τὸ χεῖρον προκόψετε πλανῶντές τε καὶ πλανώμενοι;

Διττῶν γὰρ ὄντων ἀνθρώποις ἅπασι τῶν δογμάτων, λογικῶν τέ φημι καὶ προσέτι πραγματικῶν, καὶ τῶν μὲν δόξαν ὄνομα λαχόντων, ὅσα δὴ περὶ τὰ θεῖά τε καὶ ἀΐδια ἔσθ' ὅπῃ καὶ τὰ ἀνθρώπινα ἐνστρεφόμενα ἀμηχάνῳ τινὶ λόγου δυνάμει τὸ ὑπὸν ἐκμαστεύοντες προτίθενται τοῦτο καταφανές, τῶν δὲ τῇ πολιτείᾳ τὸ ἑαυτῶν γνώρισμα κληρωσαμένων (πρακτὰ ταῦτα οἱ τῶν πρεσβυτέρων σοφοὶ κατεφήμισαν, λόγου μὲν καὶ αὐτοῖς τὴν ἀρχὴν ἐνδιδόντος, πράξει γε μὴν καὶ διαπονήσει τοῦ τελείοις εἶναι κατορθουμένου), καὶ καθ' ἑκάτερον αὖθις τριῶν ἐνορωμένων, δόξης καὶ δοξαζόντων καὶ δοξαστοῦ, οἷς δὴ τὸ κρεῖττόν τε καὶ μὴ συμπαρομαρτεῖν ἀγαπᾷ, ἃ μὲν λόγος ἐπίσταται πολυπραγμονεῖν καὶ μέχρι μόνον θεωρίας προβαίνειν ταῖς ἑαυτοῦ τεχνικαῖς ἀνάγκαις τὸ πῶς εἶναι τούτοις θηρώμενος, οὐδὲν οἶμαι δεινὸν ἀποσφαλέντι τῷ λόγῳ τῆς περὶ ταῦτα ἐγκρίτου προλήψεως τὴν ἐναντίαν τραπέσθαι τε καὶ ἀσπάσασθαι· ἔβλαψε γὰρ ὃ μὲν ἑλεῖν ἐπειράσατο οὐδὲν οὐδαμῶς (τί γὰρ ἂν καὶ πάθοι τὰ θεῖά τε καὶ ἀΐδια, εἰ βούλει δὲ καὶ ὅσα κατ' ἀνθρώπους, ταῖς μὴ προσηκούσαις περὶ αὐτῶν ὑπολήψεσιν;) αὑτῷ μέντοι τὸ πᾶν ἐλυμήνατο, καὶ πρό γε τούτου τῷ φύσαντι, οὐχ ἧττον αὐτοῦ ἤπερ ἐκείνου κατασκεδάσας τὸ βλάσφημον. ὧν δέ γε πεῖρα καὶ πρᾶξις τὸ κατορθοῦν εἰς ἐξαίρετον, μικρὰ προσδεομένων τῆς ἀπὸ τῶν λόγων συνηγορίας καὶ βοηθείας, ἅτε δὴ μηδὲ τὴν ἀρχὴν

2–5 Ps. 4, 3 || **5** Ps. 81, 2 || **7–8** 2 Tim. 3, 13 || **15–16** Aristot., Eth. Nic. I 1, 1094a19 etc.

1 *μέτροις* Ld

καθ' αὑτὰ ὑφεστώτων, ἀλλὰ λόγῳ μὲν ὅσα καὶ κανόνι σοφῷ προσχρωμένων, πράξει γε μὴν μηδὲν ἰδιαζούσῃ τοῦ τέλους ἀπαρτίζεσθαι πεφυκότων, τούτων ταῖς μοχθηραῖς δόξαις μεθελκομένων τε τοῦ κρείττονος λόγου καὶ τῷ αἰσχίστῳ τῶν ἔργων πρὸς τὸ ἀκόλουθον τυπουμένων καὶ πλαττομένων, αὐτὰ μὲν διόλωλέ τε καὶ ἀνατέτραπται αὐτοῖς ἐπιτηδεύουσι τὰ ἐπιτηδεύματα· εἰ δέ τι τὸ περὶ ταῦτα τοῦ λόγου χρηστόν τε καὶ δεξιὸν τείνει πρὸς ὄνησιν ἀποιχομένων ἤδη καὶ διερρυηκότων οἷς τούτῳ τὸ κατορθοῦν ὑπελείπετο, ἄλλος μὲν ἴσως ἐρεῖ, ἐμοὶ γὰρ οὔ γε σχολή. ὃ τοιγαροῦν τῷ καιριωτέρῳ λυμαίνεται καὶ ὃ τὸ εἶναι παραιρεῖται τῶν ἄλλων, μᾶλλον δὲ πρὸς ἑαυτὸ μεθαρμόζειν κἀκεῖνα φιλεῖ (ἅμα τε γάρ, ἵν' ἐκεῖνο δὴ κἀνταῦθα τὸ τοῦ Σταγειρίτου φῶμεν, εἰδῆσαί τε τὰ τοιαῦτα καὶ αὐτοὶ εἶναι τοιοῦτοι βουλόμεθα), τοῦτο μὴ ὅτι γε μὴ γνόντα κατὰ τὸ ἄμεινον αὐτόν (ἢ γὰρ ἂν ἦν φορητόν), ἀλλὰ καὶ γνόντα καὶ ἀδιαφοροῦντα | περὶ αὐτὸ οὕτω καὶ τοὺς ἄλλους ἐκδέξασθαι 137r *πείθειν ἐπιχειρεῖν καὶ πρὸς βάραθρον ἐμπλήκτῳ γνώμῃ συνωθεῖν ἀπωλείας, οὐ πολλῷ χεῖρον τῆς περὶ τὰ θεῖα διαμαρτίας, ὡς ὁ λόγος ὑπέστησε; τίς νοῦν ἔχων ἀντείποι, καὶ μάλισθ' ὅταν καὶ πίστεως ἁγιότης, ὥσπερ ἡ καθ' ἡμᾶς οὓς Χριστιανοὺς ηὐδόκησεν ὁ θεός, ἐνάμιλλον τῇ περὶ τὸ σέβας θειότητι τὸν βίον τηρεῖν βούλεται καὶ πίστιν ἡγεῖσθαι χωρὶς τῶν ἔργων νεκράν; οὐ γάρ μοι τῶν βελτιόνων καταφαίνεται καὶ ἀκαταγνώστων εἴ τις τὴν ἐν δόγμασι μεταδιώκων ὀρθότητα τὸ τῶν ἔργων ἀποδιοπομπήσεται δεξιόν, ῥυπῶν τε τῇ ῥᾳστώνῃ τοῦ βίου τὸ ἄχραντον καὶ τῷ διακένῳ τῆς ὑπολήψεως τὴν ἥττω δόξαν περιποιούμενος ἑαυτῷ αἰσχρῶς ἄγαν καὶ ὀλεθρίως, δέον ἁγιασμῷ πολιτείας τὸ ὑπεράγιον ὑποφαίνειν καὶ καθαρότητι βίου ὑποδεικνύναι τὸ ὑπεράμωμον. εἰ γὰρ τοῖς συντρόφοις*

13–15 Aristot., Magna mor. I 1, 1182a5–6 || 24 Iac. 2, 14–17

16 ἢ Ld: ἡ V

ἡμῖν καὶ οἷς ἐκ γενεᾶς εὐθὺς ἔχομεν θηρᾶσθαι πέφυκε τὰ ὑπὲρ ἡμᾶς ἀναλόγως, αἴσθησις δὲ τοῦτο, περὶ ἣν καὶ πρὸς ἣν ἔθος τε καὶ βελτίστη ἐνστρέφεται ἀγωγὴ καὶ πᾶν τὸ δι' ἐνέργειαν ἀναπόδεικτον, χραίνοιτο δ' ἡμῖν ταῦτα καὶ κιβδηλεύοιτο τῇ βδελυρίᾳ τῶν ἔργων οἷς ὁρᾶν ἐστιν ὡς δι' ἐσόπτρου τὸ ὑπερκείμενον κάλλος, τίς ἔτι ἀπόδειξις διαρκὴς τὸ ἐπαινετὸν παριστᾶν καὶ μακάριον, ἀντιφθεγγομένων τῶν ἔργων τοῖς δόγμασι καὶ λόγον ἄλλως ἀποφαινόντων τὸ τῆς δόξης σεμνὸν καὶ ὑπέρογκον; πῶς δὲ καὶ ἀκαθάρτῳ καθαροῦ προσαψόμεθα, καὶ τί τὸ διαπορθμεῦον ἔσται πρὸς τοῦτο, σαπρῷ μὲν κεχρημένους τῷ ἀκατίῳ, αἰσχροῖς δὲ τοῖς ἐρέταις πρός τε τὰ ἑαυτῶν φιλυποστρόφως ἔχουσιν αἴσχη καὶ πρὸς τὸ πέλαγος ἀποναρκῶσι τῆς καθαρότητος; ταύτῃ μοι δοκεῖν καὶ τὸν ἐκ παρθένου γεννηθέντα θεάνθρωπον τῆς μὲν τῶν λόγων εὐρημοσύνης μικρὸν ἢ καὶ οὐδὲν ἐπιστρέφεσθαι, τοῖς δὲ τὸ πατρικὸν αὐτῷ θέλημα ἐκτελοῦσι τὴν βασιλείαν ὑπανοίγειν βουλόμενον. τί δὲ καὶ πρὸς τὴν Σαμαρεῖτιν αὐτὸς οὗτός φησιν; οὐχ ὅτι πνεῦμα ὁ θεός; ἀλλὰ τῇ κατὰ πνεῦμα λατρείᾳ καὶ τὴν ἀλήθειαν προσεῖναι παρηγγυήσατο, ὡς τοῦ μὲν κατὰ πνεῦμα λατρεύοντος δρῶντος μέν τι γενναῖον τῇ ὀρθῇ περὶ τοῦ κρείττονος ὑπολήψει, ἀλλ' οὔπω τὸ ἀνενδεὲς ἔχοντος μέχρις ἂν καὶ ἡ τῶν ἔργων ἀλήθεια τὸ σεμνόν τε καὶ ἅγιον τοῦ δόγματος ἐμπεδώσηται. οὐδὲν γὰρ τὸ τῶν δογμάτων ὀνίνησιν ἄμεμπτον μὴ τῇ τοῦ βίου σεμνότητι ἐπισφραγιζόμενον.

Εἰ δὲ καλὰ μὲν ταῦτα πᾶς τις ἐρεῖ, ἐπεὶ καὶ τῷ ὄντι καλά, οὔπω μέντοι τοσοῦτον ὡς καὶ ὑπὲρ αὐτῶν πρόθυμον

14–17 *ὁπόταν λ(έ)γ(ει) 'οὐχὶ πᾶς ὁ λέγων μοι κύριε κύριε, ἀλλ' ὁ ποιῶν'* V mg.

2–4 Aristot., Eth. Nic. VI 9, 1142a23–30 || **9–10** lat., Phaedo 67b2 || **14–17** Mt. 7, 21 || **18–20** Io. 4, 24

2 ἀναλόγως] ἀν- s. l. ins. V || **7–8** ἀντιφθεγγομένων Ld: ἀντιφλεγγομένων V

παντὶ τῷ λυποῦντι ποιεῖν ἑαυτὸν ἔκδοτον, ἄμισθον γὰρ τὸ τοιοῦτον καὶ οὐδὲ πολλοὺς ἔχον οἳ τοῦ πόνου συνάροιντο, ἐμοὶ μὲν καὶ διὰ τοῦτο πρᾶγμα περὶ πολλοῦ τε καὶ περισπούδαστον, ἐπεὶ καὶ βραχεῖς οἶδα τοὺς ἀγαθούς τε καὶ τοῦ θεοῦ, καὶ εἰ πάντας πλάσματα· οὕτως Ἐνὼς ἕνα τὸν κα|τ' ἐκεῖνο καιροῦ θεὸν ἠλπικότα ἐπικαλεῖσθαι 137ᵛ *καὶ σέβεσθαι, οὕτως τέλειον Νῶε τῇ καθ' αὑτὸν γενεᾷ καὶ σπέρματα βίου δευτέρου ἐν λάρνακι ξυλίνῃ διατηρεῖν πιστευόμενον· τί δ' Ἀβραάμ, τί Λώτ, τί Μελχισεδέκ, τί παῖδες τρεῖς, ἄλλοι τε πάλιν οὓς τῶν ὑποδειγμάτων τὸ πλῆθος ὑπερεκπαίειν τὴν ὑπερορωμένην ὑμῖν παρέχεται ὀλιγότητα; ἆρα τοῦ ἀριθμοῦ τῇ βραχύτητι παρεθεωροῦντο θεῷ; πολλοῦ γε καὶ δεῖ. ἀλλ' ὦ τοῖς πλήθεσι γαυριῶν καὶ τῷ χυδαίῳ ὄχλῳ κατεπαιρόμενος, ὥρα σοι καὶ πλοῦτον ἀθροίζειν μὴ τὸν ἐκ χρυσοῦ καὶ ἀργύρου καὶ λίθων πολυτελῶν, ὧν σπάνις πολλὴ καὶ κόπος καὶ μόχθος ἀνθρώποις τὴν κτῆσιν πορίσασθαι, ἀλλ' ἐκ πηλοῦ καὶ καχλήκων εἰ βούλει καὶ φορυτοῦ, ὧν πλήρης ἅπασα γῆ καὶ οὐδὲ πόνος συλλέξασθαι. ἀλλ' ὅ γε τοῦ φωτὸς λύχνος καὶ πρόδρομος, ὁ ἐν γεννητοῖς ὑπὲρ ἅπαντας, καὶ πρό γε τούτου ὁ κατ' Ἰούδαν τὸν Μακκαβαῖον ἱερὸς Ἐλεάζαρ, εἶτα γυνὴ καὶ παῖδες ἑπτά, τί τοσοῦτον ὑμῖν εἰς κατάγνωσιν φέροιεν, μὴ πίστεως δόγμασι πολιτείας δὲ παραχαραττομένης μὴ ἀνασχόμενοι, ἀλλ' ἐναποθανεῖν ἡδέως ἑλόμενοι; ἡ γάρ τοι τοῦ θεσπεσίου ἔνστασις Ἰωάννου, ᾧ τὸ χρυσοῦν τῷ ὄντι στόμα ἐπώνυμον, ὀλίγου δεῖν πολλὴν τοῖς μικροψύχοις αἰτίαν παρέχεται καὶ οὐδὲ μέμψεως ἀφιέμενον, οὐκ εἰδότος, φασί, τὰ καθ' ἑαυτὸν ἐν καλῷ διατίθεσθαι, γυναίου δὲ παραφροσύνῃ τε καὶ ὀλιγωρίᾳ τοῖς κακοῦν βουληθεῖσιν ἑαυτὸν ὑπεκθέμενον, ἄγαν ἀσυμφόρως ἑαυτῷ καὶ τοῖς θλίψασιν,*

5–7 Gen. 4, 26 || **7–9** Gen. 6, 9 || **9** Heb. 11, 8–10 | 2Petr. 2, 7–8 | Gen. 14, 18–20 || **9–10** Dan. 3 || **19** Io. 1, 6–8 || **19–24** Mt. 14, 3–4; Mc. 6, 17–18 || **19–20** Mt. 11, 11 || **20–21** 4Macc. 5–7 || **21** ib. 8–18

3 leg. ⟨*τὸ*⟩ *πρᾶγμα*? || **27** *φασί* Wk: *φησί* **V**

ὅτι μηδὲ κυριακῇ παραινέσει τὸ παθεῖν ἑαυτῷ ἐκρατύνετο μήτε τινὶ ἄλλῃ σοφῇ εἰσηγήσει πρὸς θείους νόμους τὸ τῆς ψυχῆς ἀναφερούσῃ παράστημα. ἆρ' οὖν ματαία μὲν ἡ τούτων ἐλπίς, πεπλάνηνται δὲ τοῦ σκοποῦ, καὶ γνώμης ἁμαρτόντες τοῖς νῦν ἀναφανεῖσιν ὑμῖν γνώμοσι χρήσαιντο τῶν κρειττόνων, οἳ καὶ τὰ βάθη τοῦ πνεύματος ὡς ἔοικε κατοπτεύετε καὶ τοὺς σοφοὺς ἐπανορθοῦσθαι ὑπερφυεῖ τῶν βεβιωμένων μισθῷ κατευμεγεθήσατε; πολλή γε χάρις ὑμῖν ὑπερβάθμιον μὲν αἴρουσι πόδα, τρυφῇ δὲ σοφίας καὶ τοῖς ὑπὲρ ἑαυτοὺς εἰσηγήσασθαι πεπαρρησιασμένοις τὸ δέον, οἵ γε μὴ ὅτι βλέπειν τὰ ἔργα κυρίου ἀλλ' οὐδὲ τὰ ἑαυτῶν κατανοεῖν ἂν ἐξισχύσητε εἰς νοῦν παραδοθέντες ἀδόκιμον πράττειν τὰ μὴ καθήκοντα.

Ἀλλὰ γὰρ μελαγχολίας ἀκράτου ὅτι πρὸς οἷς τῇ ἐναργείᾳ μαχέσασθαι ηὐθαδίσαντο, ἔτι καὶ πρὸς ἀναντίρρητον ἑκόντες ἀλήθειαν ἀπομύουσι καὶ δόξαν τῷ ὄντι ματαίαν τῆς ἀληθοῦς ἀντηλλάξαντο· οὐ γάρ με λέληθε τοῦτο, ὡς οὐ τοῖς αὐτῶν λόγοις αἱ γνῶμαι συνέπαινοι· οἴδασι μὲν
138r *γὰρ κακῶς δογματίζοντες καὶ λίαν ἐπι|σφαλῶς καὶ ἀσυνέτως, οἱ καὶ τῇ πλήξει τῆς τῶν ἀδελφῶν συνειδήσεως εἰς Χριστὸν ἁμαρτάνοντες. ἀλλὰ τί πάθοιεν φιλίᾳ μεριζόμενοι καὶ ἀπεχθείᾳ καὶ τῷ τινὲς εἶναι δοκεῖν τοῦ ὄντως ἀποσυλώμενοι; τὸ δὲ καὶ πλέον ἤπερ αὐτοῖς ὁ σκοπὸς ἐπιμαρτυρεῖ τὸ ἀσύγγνωστον καὶ τὸ τῶν αἱρετιζόντων ὀλεθριώτερον. ἐκεῖνοι μὲν γὰρ ἴσως καὶ ἀσθενείᾳ γνώμης ὃ κράτιστον ἔγνωσαν τῶν δογμάτων ἀντείχοντό τε τούτου καὶ διὰ βίου ἠσπάσαντο, ἀμέλει μεταμαθόντες τὸ κρεῖττον τῆς ὀψὲ τάχιστα γεγόνασι διορθώσεως· οἱ δὲ καὶ τὸ καλὸν δοκιμάζοντες καὶ τοῖς κατεγνωσμένοις ἀδιαφόρως ἐναπομένοντες οὐκ ἔστιν ὅντινα ἑαυτοῖς θεῖον ἔλεον οὐκ ἀπέκλεισαν. τίς γὰρ ἔτι, κατὰ Παῦλον τὸν μέγαν φάναι διδάσκαλον, περὶ ἁμαρτιῶν ἀπολείπεται θυσία τοῖς αὐθαιρέτῳ γνώμῃ τὸ ἁμαρτάνειν πεποιηκόσιν ἐπίσπαστον;*

6–7 cf. 1Cor. 2, 10 || **11** Ps. 45, 9; 65, 5 || **12–13** Rom. 1, 28 || **31–33** Heb. 10, 26

Ἀλλὰ γὰρ εἰς τί μοι λέγειν πολλὰ καὶ μακρά, ἑνὸν τὸ τοῦ λόγου κεφάλαιον παραθέμενον πραγμάτων τὸ λοιπὸν ἀπηλλάχθαι, ἀλλ' οὐ τῇ περὶ αὐτῶν μνήμῃ τὸν λόγον ἐπὶ πλέον δολοῦν καλὸν ἀνακιρνάντα κακῷ, καὶ πρᾶγμα καπηλεύειν χρηστόν, βεβήλων παρεισφθορᾷ τὸ ἱερὸν τοῦ λόγου νοθεύοντα; ποθεῖς τὴν ἀπόνοιαν τούτων ἥτις ἀκοῦσαι καὶ ὅπως ὀνομαζόμενοι ἱερεῖς τούτοις ἑάλωσαν; ἀλλὰ φθόνος οὐδεὶς τοῖς ἐπιτηδεύμασι τούτων προσσχόντα τὸν νοῦν ἔτι περὶ τῶν τοιούτων ἀμφιγνοεῖν. οἱ γὰρ τὰ αἴσχιστα ἑαυτοῖς μοχθηρᾷ περιποιησάμενοι γνώμῃ καὶ τὴν χείρω περὶ ἑαυτῶν δόξαν οἷς ἐτόλμησαν βεβαιώσαντες τοῖς ὑπὸ χεῖρα, τί οὐκ ἂν δράσαιεν τῶν ὁμοίων τῆς ἐξουσίας πρὸς ταῦτα παρακαλούσης; ὁ γὰρ ἀφ' ἑαυτοῦ σκολιὸς σχολῇ γ' ἂν εἰ τοῦ κρείττονος εἰσηγουμένου τῶν κατεγνωσμένων ἀπόσχοιτο· καὶ ὁ μηδεμιᾷ χάριτι εἰ μὴ καὶ μέμψει τῶν κρατούντων κακός, πῶς οὐκ ἄτοπος ἔσται τοῦ κρείττονος οἰόμενος θεραπείαν τὸ δρώμενον; καὶ ὁ μηδὲν εἰς ἀπολογίαν τῆς ἑαυτοῦ κακοπραγίας παριστᾶν ἔχων, ὅμως τοῖς ἀπαισίοις ἐπιχειρῶν, τίς ἂν γένοιτο περὶ ταῦτα ἐπὰν καὶ τὸ δεσπόζον ἐλπίσῃ συνηγοροῦν κατακτήσασθαι; ἐγώ μοι δοκῶ καὶ χάριν αὐτοὺς προσοφλήσειν τοῖς ἐπείγουσι τῶν σπουδαζομένων, ὡς ἂν ἔχοιεν τῶν καθ' ἑαυτοὺς ἐγκαλούμενοι εἰς τὴν ὁμοίαν ἀναφέρειν τῶν κυριευόντων κατάστασιν. πέρας τὸ προτεθὲν ἅπαν ἀπείληφε δεξιὸν καὶ κατ' ἐλπίδα· ἀνάγκη τὸ ἀπὸ τοῦδε, ὡς ἡ ἐπαγγελία, πρὸς ἑαυτὸν ἐπανάγεσθαι.

25–26 supra p. 57,11–12

8 *προσσχόντα* Wk: *προσχόντα* **V**

68

Τῷ αὐτῷ περὶ τῶν αὐτῶν

Libellus potius quam epistula de tetragamia, a. 906 editus; et in hac quidem priore parte rem secundum civiles et morales rationes tractat, in altera (Op. 69) canones interpretatur. ait duplex certamen sibi proponi, aliis furorem sibi obicientibus, aliis nequitiam. imperator autem si verum discere cupiat, haec audiat: regi quae civibus prosint cordi esse debere, morum igitur publicorum causa hoc matrimonium reiciendum esse. si initum sit filii suscipiendi causa, primo talia providentiae relinquenda esse, deinde cur nunc voti compotem non dimittere mulierculam? cupiditati imperandum esse, sicut irae imperare didicerit. id etiam in regiae luxuria fieri posse, documento esse quod plerique imperatores unico matrimonio contenti fuerint, ceteri ultra alterum fere non processerint. de privata eorum vita sese fidem dare nolle, praestare vero talia, si fieri necesse sit, in occulto fieri, matrimonii certe nomine nullo modo digna esse. accusat patriarcham quod dispensationem et indulgentiam iactans donis et gratia veniam vendat. nam patres poenis constitutis peccatum sanare et compescere, non augere studuisse, nec decere eos prohibentes contemnere, ignoscentibus animum advertere. quod Tarasius Constantino VI alterum permiserit matrimonium, id nihil ad rem esse; quod etiam adulterium praevium venia prosecutus sit, patrum dedecora silentio potius premenda quam revelanda esse. nam et Pauli Timotheum circumcidentis non exemplo, sed praeceptis obsequendum esse. leges et canones quarti matrimonii nullam mentionem fecisse, tertium reicientes; eius rei ergo nostrum imperatorem auctorem esse non debere, nec veros amicos id suasuros. si patres vetuerint – vetuisse autem – dispensationi locum non esse. huic consilio utinam oboediat Leo; sin aliter, se tamen quae debuerit monuisse.

68 **V** – Jk-Ld pp. 303–311

Πολὺς ὁ λόγος, χρηστότατε βασιλεῦ, πειρώμενος ἡμᾶς θορυβεῖν, εἰ καὶ μηδὲν προσποιούμεθα, ἐπὶ τῇ ἐνούσῃ ἡμῖν περὶ τῶν προκειμένων ἐνστάσει, διχῇ τε διαιρούμενος | οὗτος, καθ' ὅσον οἱ τῆς ὑπονοίας πατέρες ταῖς περὶ ἡμῶν 138v *ἐπέστησαν ὑπολήψεσι, καὶ δὴ καὶ τὸ θεοφιλὲς ὑμῶν σαλευόμενον κράτος, οἷς οὗτοι κυκᾶν ἔγνωσαν, τὴν χείρονα βραβεύειν ἡμῖν γνώμην ἴσως οὐ κατοκνεῖ· δεινὸς γὰρ ὁ παρὰ τοῦ ἀντιδίκου λόγου λόγος ἑλεῖν τὸν ἀκροατήν, ἂν μόνον ὑπῇ τι τῶν θέλγειν εἰδότων τὸν ἐπαΐοντα. ἐμοὶ δὲ πόθεν εὐμοιρῆσαι τοσοῦτον ὥστε μὴ μόνον τὸ καθ' ἡδονήν τισιν ἐξελεῖν τῆς ψυχῆς καὶ πρὸς εὐγνώμονα ἐπαναγαγεῖν ἀκοήν, ᾧ τὸ πᾶν κατορθοῦται τῷ λέγοντι, ἀλλά γε καὶ θείοις ὡς ἔοικε καὶ ὑψιβρεμέταις ἀνδράσιν ἱκανοῖς τε τὰ βάθη κατοπτεύειν τοῦ πνεύματος ἑαυτὸν εἰς ἀγῶνα καθεῖναι ῥᾴθυμον καὶ ἁπλοῦν καθεστῶτα καὶ τοῦ δέοντος ἀσυλλόγιστον; πλὴν οὐκ ἀποκνητέον πρὸς τὴν ἐγχείρησιν· δώσει γὰρ εὖ οἶδα λόγον ἐκεῖνος οὗτος ὃς οἶδε καὶ πέτραν ἀκρότομον εἰς λίμνας ὑδάτων ἀναστομοῦν ἵνα διψῶντα κορέσῃ λαόν, κωφόν τε καὶ δύσκωφον λαλίστατον τίθεσθαι, καὶ μαθητὰς ἀγραμμάτους ῥητόρων δεινῶν εὐγλωττοτέρους ἐργάζεσθαι, καὶ μάλιστα εἰ γνώμης εὐλάβεια τὴν προθυμίαν περικροτεῖ ἀλλὰ μὴ πάθος ἀνθρώπινον τὸν λογισμὸν ὑποτρέχον τῆς ἀληθείας ὑποκινῇ.*

Αἷς μὲν οὖν αἰτίαις οἱ φιλάδελφοι τῷ ὄντι ὅσαι ἡμέραι συχναῖς ἡμᾶς βάλλουσι καὶ δὴ πείθουσι καὶ τοὺς ἄλλους ὅσοις ἀρέσκειν σπουδή, οὐδείς ἐστι σχεδὸν τῶν τῆς Χριστοῦ μερίδος ὃς ἀγνοεῖ. διχῇ γὰρ οὗτοι, ᾗ καὶ φθάνομεν εἰρηκότες, σχιζόμενοι, οἱ μὲν ἀλογίαν ἡμῶν καὶ φρενῶν παρακοπὴν κατεσκέδασαν, ὅσοις τὰ χρηστότερα περὶ ἡμῶν ἔδοξεν, οἱδὲ καὶ τρόπων κακεντρεχείᾳ καὶ πανουργίᾳ κεχρη-

12–13 *εἰρωνεία* **V** mg.

13–14 cf. 1Cor. 2, 10 || **17–19** Ps. 113, 8 (Ex. 17, 6) || **20–21** Act. 4, 13

26 *ὅσοις* **Ld**: *ὅσους* **V**

σθαι ἡμᾶς ἐνδιέβαλλον, ὅσους ἐνῆγεν ἡ καθ' ἑαυτοὺς σκαιότης καὶ τὰ τῶν πλησίον ἤθη τεκμαίρεσθαι. ἀλλ' εἰ μὲν παρανοίας ὑπέχω γραφήν, τίς οὕτω πρὸς τὴν ὁμοίαν νόσον αὐθαίρετος ὡς μὴ ἐλέῳ τὸ κακὸν ἐποικτίσασθαι, ἀλλ' ἐπὶ δίκην καλεῖν καὶ τούτων εὐθύνας εἰσπράττειν ὧν οὐκ αὐτός τις κακοδαιμονία δ' ἐστὶ κύριος; πανουργίας δὲ καὶ τρόπων σκαιότητος κατὰ τοσοῦτον (θεὸς ἔφορος τοῦ λόγου) τὸ ὑπαλλάττον ἡμῖν, καθ' ὅσον αὐτός τε τὸ τοῦ ἤθους ἁπλοῦν τε καὶ ἄδολον περιπεποίημαι ἐμαυτῷ καὶ τούτους ἀεὶ προκρίνω τῶν ἄλλων καὶ εἰς φιλίαν ἁρμόζομαι οἷς οὐ καρδία σκαμβή, τὸ τοῦ ψάλλοντος, ψυχὴ δὲ πᾶσιν εὐλογουμένη ἁπλῆ· τεκμήριον τοῦ λόγου τὸ πᾶσιν ἐκκεχυμένως καὶ ἀνεπαχθῶς ἔχειν εὐπρόσοδόν τε τοῖς σωφρονοῦσι παρέχεσθαι ἑαυτὸν καὶ τοὺς τραχεῖς καὶ ἀκανθώδεις καὶ δυσπροσίτους ὡς ἄγος ἐκτρέπεσθαι.

Ἐπεὶ δὲ ταῦτα, φέρε λόγον ὑπόσχωμεν ἤδη, ἐφ' ὅπερ ὁ λόγος ἀφώρμηται, περὶ τῆς καθ' ἡμᾶς ἐλπίδος τοῖς ἐξ ἐπηρείας ἡμῖν ἐπεμβαίνουσιν, ὡς ἂν εἰδεῖεν οἵ τε τῷ πνεύματι πλανώμενοι σύνεσιν καὶ οἷς ἀπάτη παράγεσθαι τοῦ ὀρθοῦ μεμηχάνηται εἰρηνικὸν ἐπιβλέψειαν οὗτοι καὶ φίλιον, ἂν ἄρα καὶ βούλωνται, τοῖς ἐνδιαβαλλομένοις, ἐπείπερ ἀγα-
139r *θωσύνην διώκουσιν. | εἰ δὲ μὴ τοῦτο, ἕτοιμος ὑπομένειν πᾶσαν κακότητα οὗτος ἐκεῖνος, ὃς ἥδρασμαι καὶ πέποιθα τοῖς ἐμοῖς λόγοις καὶ οὕτως ὡς καὶ συναπελθεῖν τούτοις εὐχῆς ἔργον εἰδέναι, καλὸν ἐντάφιον τὸ ὑπὲρ ἀληθείας παθεῖν ἑαυτῷ μνώμενος. ἀλλὰ γὰρ ὃ σοφὸν ἔγνωκα, κράτιστε βασιλεῦ, κράτιστον ὑμῖν πρὸ ὁδοῦ, φασίν, εἰσηγήσασθαι, καὶ τολμηρῶς μέν, ἀλλ' οὖν ἐπανερέσθαι· πότερα τῆς ἀληθείας ἐχόμενον ὑποτείνειν κελεύεις τὸν λόγον ἢ τοῦ ἡδέος γινόμενον; καί μοι δοκεῖν, ὃς ἀλήθειαν καλεῖσθαι τὸν θεὸν ἔγνωκας καὶ ἐπ' αὐτῷ μόνῳ τὰς τῆς ζωῆς ἀποσαλεύεις*

10–11 Ps. 100, 4 || **11–12** Prov. 11, 25 || **16–17** 1Petr. 3, 15 || **18–19** Is. 29, 24 || **25** Isocr. 6, 45 || **27** Lucian., Gall. 1 c. schol.; Hierocl., In aur. carm. 480a1 ed. Didot. c. schol. (*Ἑλληνικά* 17, 1960, 125) || **30** cf. Io. 14, 6; 1Io. 5, 6

1 *ἡ* Ld: *οἱ* V || **17** *τοῖς* Ld: *τῆς* V

ἐλπίδας, τῆς ἀληθείας ἐρεῖν. διὸ δὴ καὶ αὐτὸς προθύμως τὰ ἑξῆς μετελεύσομαι, μηδὲν ταπεινὸν ἢ δοῦλον ἢ βωμολόχον ὑποδυόμενος, ἀλλ' ὅπερ ἀρχιερεῖ θεοῦ τε προσῆκεν εἰπεῖν καὶ βασιλέα που ἐπακοῦσαι· ὁμοίως γὰρ ἄτοπον ἀρχιερεῖ θεοῦ λόγοι πολλοῦ τὸ πρὸς χάριν τιμώμενοι καὶ βασιλεῖ πάλιν τὸ πρὸς κολακείαν ἀποκλῖνον ἐκλέγεσθαι.

Αἱ μὲν οὖν τυραννίδες τῷ τρόπῳ καὶ τῷ ἤδει ἑαυταῖς τοὺς ὑπὸ χεῖρα διάγουσαι δουλικῇ τῇ λατρείᾳ τὸ ἐλεύθερον καθυβρίζουσιν, αἷς δὲ τὸ ὑπήκοον τῇ τῶν γνησίων παίδων ἀνείληπται τάξει καὶ ἀναφέρεται, βασιλείας ταύτας καλεῖν ἀνθρώποις νενόμισται καὶ τοῦ ἤδέος αὐτῶν τὸ τῶν ὑπεξουσίων συμφέρον προκρίνειν πεπίστευται. εἰ μὲν οὖν εὐκοσμίας τοῦ ὑπηκόου τῷ σεμνοτάτῳ βασιλεῖ μέλει, σιγάσθω τὰ τῶν ὑπερορίων γάμων καὶ παντελεῖ λήθῃ παραδιδόσθω, ὡς ἂν ἡδονή τε παρευδοκιμοῖτο καὶ τῷ ὑπηκόῳ μὴ τῶν αἰσχίστων ᾖ τοῦτο παράκλησις εἰς τὴν ὁμοίαν τῶν κυριευόντων κατάστασιν τὴν μίμησιν ἀναφέροντι. εἰ δ' ἀσθενεῖ τὸ ἐπίταγμα, πάλιν ἐγὼ πενθῶν καὶ σκυθρωπάζων πορεύσομαι καὶ τῷ λυπεῖν βουλομένῳ ἐκκείσομαι. εἰ δὲ καὶ πρόφασις τὸ πρᾶγμα παιδοποιίας, ᾧ θρόνος τε βασίλειος κοσμηθεὶς καὶ κλῆρος πατρικὸς ἀναδεχθείη, πρῶτον μὲν οὐχ ὁρῶ τίς ὁ λόγος μὴ τοῖς τῷ κρείττονι δεδογμένοις ἀγαπᾶν στέργειν, ἀλλὰ βιάζεσθαι τὸν ἀβίαστον, καὶ ταῦτα οὐκ ὄντος ἐν τοῖς ἀνθρωπίνοις καὶ καθ' ἡμᾶς πιστόν τι καὶ ἀμετάπτωτον κατιδεῖν, ἐν μέσοις δὲ πολλάκις τοῖς χρηστοτέροις τὸ τῶν συμφορῶν παραβυόμενον σκυθρωπόν, ἔσθ' ὅτε δὲ καὶ φθάνον τὴν εὐημερίαν τὸ ἀνιῶν, ἐφ' οἷς μετάνοια μὲν τῶν προδιῳκημένων, ἀνήνυτος δὲ ὁ τῆς ὑστεροβουλίας μετάμελος, οὐκέθ' οἷου τέ τινος ὄντος τὸ γεγενημένον ἀνακαλέσασθαι. ἔπειτα δὲ τίς ἀνάγκη μὴ χάριν εἰδότα τῷ παρασχόντι τὴν ὧν ἐπεθυμήσαμεν κτῆσιν αὖθις τὸ ὑπηρετησάμενον ἀποπέμψασθαι, καθάπερ τὸ πλοῖον ὅ

18–19 Ps. 34, 14; cf. 37, 7; 41, 10; 42, 2

3 fort. προσῆκον || **15** παρευδοκιμοῖτο Wk: -οίη **V** || **21** ἀναδεχθείη] -ε- ex -ει- **V** || **24** ἀνθρωπίνοις] -ιν- s. l. ins. **V**

τὸν πλοῦτον ἡμῖν ἀπὸ τῆς ἀλλοδαπῆς διεπόρθμευσεν, εἰ βούλει καὶ τῶν καρπῶν ὅσα τέως αὐτοὺς ἐμαιεύσατο καὶ πρὸς ἀκμὴν ἐπανήγαγε περιβλήματα, παρακατέχοντα δὲ αὐτὸν μὲν ἀχαριστίας καὶ φιληδονίας ὑπέχειν ἐπίκλημα καὶ 139v *δεδιέναι περὶ τῇ δωρεᾷ, κατηγο|ροῦντα δὲ Ἀβραὰμ τῷ ἐπὶ Ἄγαρ καὶ Ἰσαὰκ παλαιῷ ὑποδείγματι, τὴν μὲν ἀποπεμπόμενον μετὰ τέκνωσιν, τὸν δὲ τυθῆναι μὴ ἀπειπάμενον; δέον κρατεῖν ἡδονῆς καὶ μὴ τὸ κρεῖττον καθυβρίζειν τῷ χείρονι, ἀλλ' ὥσπερ θυμοῦ κυριεύων, πάθους οὐ ῥᾴστου πρὸς κατοχὴν οὐδ' εὐκόλως τῷ τοῦ λόγου σφιγγόμενον χαλινῷ, τὰς ἀγήρως κεκλήρωσαι παρὰ πάντων τιμάς, οὕτω γε καὶ θατέρας τῶν περὶ ἁφὴν κρατῶν ἡδονῶν τὸν αὐτοκράτορα λογισμὸν ἐπιφαίνειν αὐτῇ τῇ ψυχῇ καθάπερ ὀχήματι κεχρημένον καὶ τοῖς ἀνδραποδώδεσι πάθεσι δεσποτικῶς ἄγαν καὶ ἐμβριθῶς ἐπιτάττοντα· οὗ τί ἂν εἴη εὐδαιμονέστερον; οὕτω με πείσεις εὐμενῶς ἐπιβλέπειν τῷ χρήζοντι καὶ ὃ τούτῳ φίλον προχειρότατον κατανύειν, οὕτω θεοῦ τοῖς σκηνώμασιν ἐναυλίζειν, ὧν οἱ λεπρῶντες πόρρω που ἀπελαύνονται. ὃς γὰρ τῶν βιαιοτέρων κρατῶν ἡττᾶται τοῖς χείροσιν, οὐκ ἔστιν οὗτος ἥντινα μέμψιν οὐχ ὑποδύσεται, μαλακίας φημὶ καὶ ἐθελοκακίας καὶ εἴ τι ἄλλο τῶν περὶ ἀνανδρίαν καὶ ἔκλυσιν ἐνστρεφομένων. ὅτι δὲ θυμὸς δυσαγωγότερον ἡδονῆς παντί τῳ δῆλον τῷ καὶ μικρὸν ἐπιστήσαντι· οἷς γὰρ οὐκ ἐν τῷ ποιοῦντι καθίσταται τὸ ὑπάρξαν, ἀλλ' ἐπεισοδιώδη καὶ ἔξωθεν τὴν αἰτίαν ἐπάγεται, τοῦτο τὸ δυσπειθέστερον ἀναντιρρήτως κεκλήρωται· οὐδὲ γὰρ ὡσαύτως τῶν ἐφ' ἡμῖν καὶ οὐκ ἐφ' ἡμῖν κρατεῖν περιγίνεται. ταύτῃ τοι καί τις τῶν θύραθεν σοφιστῶν τὰ καθ' ἡδονὴν τῶν κατὰ θυμὸν ἁμαρτανομένων ἀσυγγνωστότερα ἀπεφαίνετο, τῷ τὰ μὲν τὸν λελυπηκότα, τὸν δ' ἡδονῇ κλαπέντα οὐκ ἄλλο οὐδὲν ἢ ῥᾳστώνην ἔχειν καὶ μαλακίαν καταιτιάσασθαι.*

5–8 Gen. 21, 8–14; 22, 1–19 || **17–18** Ps. 64, 5; cf. 14, 1; 42, 3; 60, 5 || **18–19** cf. Lev. 13, 46; 14, 10–32; Num. 5, 2; 2 Par. 26, 20–21 || **28–32** Aristot., Eth. Nic. VII 7, 1149b 20–21

24 *καθίσταται* Wk: *-ανται* V

᾿Αλλὰ τὸ τῆς ἡλικίας σφριγῶν ἐμποδὼν τοῦ ὀρθοῦ καταστήσεται λόγου, τρυφή τε καὶ ἁβρότης ἣ τοῖς βασιλείοις φιλεῖ ἐναυλίζεσθαι; ἐγὼ δ' ἂν εἰ μὲν μηδένα βασιλέων ἑώρων καὶ νέον καὶ τρυφῇ διαρρέοντα, ὅμως τὸν μὲν ἐφ' ἑνὶ μόνῳ τῷ χαλινῷ τοῦ λόγου τὸ τῆς νεότητος σφριγῶν εὐείκτως κατάγξαντα, τὸν δὲ καὶ ἐφέντα μέν, μέχρι δὲ δευτέρου λέχους τὴν γαμικὴν ἀπειπάμενον ὁμιλίαν, ἠξίουν ἂν λόγου τὴν ἀνθυποφοράν· ἐπειδὴ δὲ πολλοὶ μὲν οἱ τῷ ἑνὶ ἀπολήξαντες γάμῳ, ὧν ᾿Αρκάδιός τε καὶ ὁ τούτου ἐκφὺς Θεοδόσιος, ὀλίγοι δὲ μάλα ὅσοι τῷ δευτέρῳ μόνῳ τοὺς τῆς ζωῆς περιέστειλαν ὅρους, τί ἂν ἔτι δρῴημεν καὶ τίς ὁ λόγος ἡμῖν εὐπρόσωπος εἰς ἀποφυγὴν ὑπολείποιτο; οὐδὲ γὰρ οὐδὲ μὴ τρυφᾶν τούτους παριστᾶν ἔχομεν, πολλῷ μέντοι τῷ περιόντι τοῦ κοσμίου ἀντέχεσθαι καὶ τοῦ τῷ ὑπὸ χεῖρα μηδαμῶς ἐπιμώμους καθίστασθαι. τί δαί; κρυφίας αὐτοὺς οὔ τις καθαρεύειν διατείναιτο ἀκρασίας; τοῦτο μὲν οὐκ ἂν πάνυ διατειναίμην, οὐδὲ γὰρ ἱερεῦσι θεοῦ γε σχολὴ τοῖς τῶν κατὰ ψυχὴν τραυμάτων ἕλκεσι προσκαθῆσθαι, μυιῶν γὰρ ἔργα μετερχομένους, ἀλλ' ᾧτινι τούτων μέλει μελέτω· ἐμοὶ γὰρ οὔ τι | καταφαίνεται τῶν βελτιόνων 104r *οὐδ' ἄλλον ἀνθρώπων, μή τί γε δὴ βασιλέας, κατὰ τὰ αἰσχίω φυλοκρινεῖν. ὡς δ' ἂν ἔχω περὶ τούτου, καὶ οὐδὲ φαύλως οἶμαι, δηλώσω τῷ λόγῳ. κράτιστον μὲν πάντα τινὰ ὅρους περιβαλλόμενον ταῖς ὀρέξεσι μηδὲν ὅλως ταύταις ἐφεῖναι ὅτι μὴ πᾶσα ἀνάγκη, τὸ δὲ περιττὸν ἀποπέμπεσθαι· οὐδὲ γὰρ ὥσπερ τι τῶν τῆς ἀρχῆς παρασήμων ἤδη καὶ τρυφὴ καὶ ἁβρότης ἐξαίρετα βασιλεῖ· τοὐναντίον μὲν οὖν, εἰ μέλλει μὴ διακένῳ σεμνύνεσθαι τῷ ὀνόματι, πόνοις καὶ ἀγρυπνίαις προσδαπανήσεται καὶ φροντίσιν ἐφ' ᾧ τὸ λυσιτελέστατον τῇ ἀρχῇ ἀνευρήσειν. εἰ δέ ποτε καὶ ὑπερόριον ἐξενεχθείη — δεδόσθω γὰρ ἀνθρώπῳ γε ὄντι καὶ τὸ τῆς ζωῆς ἔντονον ὅποι παρείκοι καταλύοντι, ὡς ἂν μὴ τῇ ἄγαν ἐντάσει ὥσπερ τῶν τόξων τὰ διηνεκῶς ἐντεινόμενα χωρῇ πρὸς τὸ ἄχρηστον, —, αὐτῷ μόνῳ περι-*

14 *τοῦ τῷ* **Wk:** *τῷ τοῦ* **V || 34** *χωρῇ* **Ld:** *-εῖ* **V**

ιστᾶν τὸ κακὸν τῷ τῆς αἰσχύνης λανθάνοντι, ἀλλ' οὐ τῷ πᾶσι τὸ ἄτοπον ἐξορχήσασθαι διπλῷ τῶν αἰτιαμάτων περιστοιχίζεσθαι, ᾧ τε αὐτὸς ἐπλημμέλησε καὶ ᾧ τοὺς ἄλλους πρὸς ζῆλον ἠρέθισε. σωφρόνων δὲ οἶμαι τῶν τ' ἀγαθῶν ἐκλέγεσθαι τὰ πλείω τε καὶ βαρύτερα κἂν τοῖς κακοῖς τὰ μείονα καὶ κουφότερα. ἀλλ' εἰ γάμον φήσει τις τοῦτο φημίσαντα καὶ καινίσαντα τοῦ αἴσχους ἀπαλλάξαι τε καὶ καθᾶραι, ἦν ἄν, ἐγὼ φαίην, τῷ ἔργῳ τὸ βούλημα σύνδρομον, εἰ καὶ τοῖς ὀνόμασι μετεστοιχειοῦτο τὰ πράγματα· νῦν δὲ δέδοικα μὴ καὶ κενοσπουδίας ἁλῶμεν. μέχρις γὰρ ἂν ᾖ τὰ πράγματα πάγια, μηδὲν συντελούντων εἰς ἀλλοίωσιν τῶν ὀνομάτων τῇ φύσει, μάταιον ἡ σπουδή· οὐδὲ γὰρ εἴ τις πίθηκον εἰς λέοντα μετακαλέσει, ἀποχρῶσαν εὗρεν αὐτίκα τῇ προθέσει τὴν βούλησιν, ἀλλ' ὁ μὲν οὐκ ἐξέστη τῆς ὅπερ ἦν φύσεως, τὸ δὲ ὥσπερ κἀνταῦθα αὖραι, τὸ τοῦ λόγου, ὑπολαβοῦσαι εἰς τὸ μὴ ὂν ἐξεφύσησαν, οὐδὲν ἀπολιποῦσαι τῷ πράγματι ἢ τὸ ἀναίδην καὶ ἀπηρυθριακότως τῷ βίῳ ἐμπολιτεύεσθαι.

Τί ἔτι; οἱ φιλάνθρωποι τῷ ὄντι καὶ συμπαθεῖς ἡμῖν ἥξουσιν οἰκονόμοι, τῆς Ἰησοῦ μακροθυμίας τὸ ἀνεξίκακον πνέοντες καὶ τὸ ἀπηνὲς ἡμῖν καὶ αὔθαδες καὶ σκληρὸν ὀνειδίζοντες. τὸ γοῦν εὐδαιμονεῖν ἐν τούτοις περίεστι, πρὸς γὰρ τὴν ἁμαρτίαν. ἀλλ' ἦσαν ἂν οἰκονομικοὶ καὶ φιλάνθρωποι εἰ τῷ οἰκείῳ ἐνέμειναν ὕψει, μηδὲν τῶν χαμαὶ ἐρχομένων ὑποποιούμενοι καὶ τοῖς οἰκονομουμένοις τὸ συμφέρον ἐκλέγοντες· νῦν δὲ καὶ πρὸς ἐκεῖνο ἀπεγνωσμένως διαγενόμενοι καὶ πρὸς τὰ τίμια τῶν κατ' ἀνθρώπους ἐπισφαλῶς λιχνευόμενοι καὶ τῇ Σίμωνος δωροδοκίᾳ οὕτω γε δὴ ἁλισκόμενοι τῆς συμπαθείας γεγόνασιν, οὐχ ἵνα τινὰς σώσωσιν — πῶς γάρ, οἵ γε ἑαυτοὺς ἐξωλέκασι τὸ τῆς ἀρχιερωσύνης ἀκριβὲς διαφθείραντες καὶ τὰ τῶν ἁγίων ἄδυτα βουλομένῳ ἀναπετάσαντες; — ἀλλ' ἵνα τὸ τοῦ γάμου ἀνύβριστον χράναντες πάντα σχεδὸν βλάψωσιν, εἴ γε τὸ κρεῖττον τοῦ χείρονος διδασκάλιον εἰς τὸν τοῦ προεστῶτος

15–16 cf. Procop. Gaz., Ep. 105, 8 Garzya-Loenertz || **24–25** Hom. *E* 442 || **28** Act. 8, 18–24

ζῆλον ἀεὶ καταφεύγοντες· οὐδ᾽ ὅπως αὐτοῖς μὲν τοῖς οἰκονόμοις μικρά τις ἴσως | καὶ οὐ καιρία προσγένοιτο βλάβη 140v *τῇ καινοτομίᾳ, ὅς λόγος οἰκονομίας, μεγίστη δὲ τῷ οἰκονομουμένῳ ἡ σωτηρία καὶ τὸ τοῖς πᾶσι ζηλωτὸν καὶ ἀπόδεκτον, ἀλλ᾽ ἵν᾽ αὐτοῖς μὲν τὰ αἰσχίω περιποιηθείη, ὅσα τε κατὰ σῶμα, ὅσα περὶ ψυχήν, ὅρια πατέρων μετακινοῦσιν αἰώνια καὶ τῇ πλήξει τῆς τῶν ἀδελφῶν συνειδήσεως εἰς Χριστὸν ἁμαρτάνουσι, τῷ δ᾽ οἰκονομουμένῳ ψυχῆς ὄλεθρος τῆς πολιτείας μετατιθέντι θεσμόν, τοῖς δ᾽ ἄλλοις ἀνθρώποις ἀπιστία καὶ καταφρόνησις οὐ καθ᾽ ἱερέας ὁρῶσι διαγενομένους τῷ πράγματι, βωμολόχῳ δὲ χάριτι καὶ φιλίᾳ τὰ τοῦ θεοῦ καπηλεύοντας, οὔτε Καίσαρι τὰ τοῦ Καίσαρος εἰδότας ἀποδιδόναι, οὐ τὰ τοῦ θεοῦ τῷ θεῷ, ἀλλὰ θεὸν μὲν παρὰ φαῦλον θεμένους, τὸ πᾶν δὲ μετακλιθέντας εἰς Καίσαρα. ἐξ οὗ τί γίνεται; ἕπεσθαι μὲν οὐκέτι τοὺς ἀνθρώπους θεῷ, ἀνθρώποις δὲ διδαχθῆναι θεόν, καὶ ἡδονὴν μὲν νικᾶν, ἡττᾶσθαι δὲ ἀρετήν. καὶ ταῦτα πότε; ὁπηνίκα τῇ θαυμασίᾳ καὶ οὐρανόφρονι αὐτῶν ἐνστάσει καὶ διατάσει μέχρι ῥημάτων ψιλῶν τὸ σεμνὸν ἐπιδεδειγμένη καὶ μετὰ τὸ ὅσον τὸ ἄγος καὶ οἷον ἅπασιν ὑπογράψαι τὸν ὀνικὸν μύλον ἑαυτοῖς προσπορίζοντας, κύνας τε ἐπὶ τὸ ἴδιον ἀπέραμα ἀναστρέψαι καὶ συλληφθῆναι τοῖς ἔργοις τῶν χειρῶν αὐτοῦ τὸν ἁμαρτωλόν, ὥσπερ ἀνέγνωμεν.*

Ἀλλὰ πατέρες τῷ πράγματι συνηγορήσουσι τοὺς οὕτω σφαλέντας ὑποτιμώμενοι, οἷς καὶ οἱ καθ᾽ ἡμᾶς ἕψονται πατέρες τῷ ἀμείνονι μεταχρωννύμενοι καὶ πλαττόμενοι; ἁπλοῦς ὁ λόγος· εἰ μὲν παράκλησιν οἶσθα πρὸς ἁμαρτίαν τοὺς θεοφόρους τὸ ἐπιτίμιον γράφοντας, οὐδὲν μὲν ἐγὼ λέγων κατείλημμαι, λευκὴν δὲ τὴν ψῆφον ὁ ταῦτα πρεσβεύων ἀποίσεται. εἰ δ᾽ ὅπερ φόβος, ὃ κόλασις καὶ ἀποτροπὴ τοῦ κακοῦ καὶ πᾶν ὃ σωφροσύνης χαλινὸς βούλεται,

6–7 Prov. 22, 28 || **7–8** 1Cor .8, 12 || **12–13** Mt. 22, 21; Mc. 12, 17; Lc. 20, 25 || **20–21** Mt. 18, 6; Mc. 9, 42; Lc. 17, 2 || **21–22** 2Petr. 2, 22 || **22–23** Ps. 9, 17

18 *διατάσει*] -*τ*- ex -*στ*- V

τίς οὕτω τὸ ἀναιδὲς ἐπησκήσατο ὡς ταῦτα μὴ ἐρυθριᾶν, οὐχ ὅπως φημὶ προτείνειν, ἀλλ', ὃ μετριώτερον, κἂν ἐπὶ νοῦν ἰέναι παραχωρεῖν; εἰ γὰρ ὅτι γεγράφασι τοῖς ἁπλότητι καὶ ἀπροσεξίᾳ, μᾶλλον δὲ μαλακίᾳ καὶ ἀνοίᾳ τὴν ψυχὴν τετρωμένοις ἀπουλωτικὸν φάρμακον, ἀξιοῖς ὁ μέγας διδάσκαλος τούτῳ θαρροῦντας μὴ ἀνακρούειν τῷ τοῦ λόγου χαλινῷ μηδ' ἀναχαιτίζειν τὰς ἀλόγους ὁρμάς, ἀλλ' ὡς ἐφ' ἕτοιμον ἀκεσώδυνον ἀποβλέποντας ἀφειδεῖν τῶν κακῶν καὶ ἐκ προνοίας ἐπισπᾶσθαι τὸ ἁμαρτάνειν, ἕρμαιον μὲν τοῖς ῥαστωνεύουσι τὸν βίον τὰ τῶν κανόνων, αὐτοὶ δ' οἱ πατέρες κακοπολιτείας εἰσηγηταὶ καὶ τὸ σεμνὸν τῆς ἀμωμήτου πίστεως ἀνατρέποντες· οὗ τί ἂν ἐμπληκτότερον; ἐπεὶ οὕτω γε καὶ ἰατρικὴν αἰτιάσαιτό τις τῶν νόσων. ἀλλ' οὐδὲ μετὰ γνῶσιν τοῖς ἐπιτιμωμένοις τοῦ σφάλματος, οὐδὲ πολλῷ πλέον ἐναπομένουσι τῷ μιάσματι, οὐ μετ' ἀπ-
141r *αγόρευσιν τῶν ἐπιτιμᾶν τε|ταγμένων καὶ παρακοὴν τῶν θεοφιλῶν εἰσηγήσεων (ὃ καὶ νῦν ἐφ' ἡμῶν διαπέπρακται, κἂν ἑκόντες αὐτοὶ ἐπιλέλησθε) τὰ θεῖα καὶ ἱερὰ προστέτακται φάρμακα, εἰ μή πού γε προαισθανομένους μὲν ἡμᾶς πραχθῆναι ἐξοργιεῖ τὸ κακόν, πραχθὲν δὲ συνηγόρους καὶ ἐπαινέτας προσλήψεται. ἀλλ' οὐδὲν πλέον Εὐρύβατος ἕξει καὶ Κιλικῶν εἰς τρόπων φαυλότητα. δι' ἅ γε δὴ πρὸς οἷς μετὰ τῶν τελωνῶν καὶ ἐθνικῶν ἀπωσθήσεται τῇ τοῦ κυρίου φρικτῇ ἀποφάσει, ἔτι καὶ τοῦ σοφοῦ Βασιλείου ὁ καταφρονητὴς ἐπακούσεται ὡς τῶν προτιμώντων τὰς τῆς σαρκὸς ἡδονὰς τοῦ κυρίου καὶ τὴν κατὰ τὸ εὐαγγέλιον μὴ καταδεχομένων ζωὴν οὐδείς ἐστι λόγος.*

Πῶς δ' ἄν τις καὶ ἔτι θαρρήσῃ τοῦτον παρακαλεῖν ἰατρὸν καὶ χρῆσθαι τούτῳ ὑγιείας ψυχῆς συνεργῷ, ᾧ μένειν ἐξὸν ἀλωβήτῳ τοῖς ἱεροῖς εἴκοντα δόγμασιν, ὁ δὲ τὴν ἐναντίαν ἐτράπετο, αὐτῷ μὲν πραγματευόμενος τὸ ἀσύγγνωστον τῇ

21–22 CPG I 243; II 427 | CPG I 2; II 93 || **23–24** Mt. 18, 17 || **24–27** Bas., Ep. 218, can. 84, PG 32, 808B10–14

παροράσει (οὐκέτι γὰρ κατὰ Παῦλον περὶ ἁμαρτιῶν ἀπολείπεται θυσία τοῖς τὸ ἁμαρτάνειν πεποιηκόσιν ἐπίσπαστον), ἀφαιρούμενος δὲ τὸν θεραπεύσοντα τὴν ἰσχὺν καὶ τὸ τινὰ εἶναι πιστεύεσθαι; καὶ τῷ μὲν τοῖς λεαίνουσι παραχρωμένῳ χρησόμεθα ἰατρῷ, τὸν δὲ τοῖς στύφουσι καὶ τὰς ὁρμὰς ἀποτέμνουσι τῶν αἰσχίστων ἀποδιοπομπησόμεθα; καὶ τῷ αὐτῷ νῦν μὲν τὰ σωτήρια συμβουλεύοντι τὸν νοῦν οὐ προσέξομεν, συντρέχοντι δὲ τοῖς ἀτόποις τῶν ἔργων ὡς ἀγγέλῳ κυρίου πεισόμεθα; καὶ μὴν καὶ διὰ ταῦτα μὲν δίκαιος ἀπιστεῖσθαι καὶ ὡς οὔτε δὲ πολιτικῷ νόμῳ οὔτε πνευματικῷ τὸ δύνασθαι ποριζόμενος· ὁ μὲν γὰρ οὐκέτι τὸν ὑπὸ κριτηρίῳ τὴν αὐτοῦ γνώμην φανερὰν καταστήσαντα μεταγινώσκειν καὶ μεταβάλλεσθαι παραδέχεται, ὁ δὲ τοῦ πνεύματος νόμος καὶ αὐστηροτέραις ὑπάγει ποιναῖς ὃν οὐκ ἐλέγχῳ φωρῶντα τὸν ἁμαρτάνοντα καταλάβοι, συγκρύπτοντα δὲ τῷ πάντως συνήδεσθαι καὶ συνηγορεῖν τῷ κακῷ καὶ ἐνοχῆς ἀπολύεσθαι.

‘ ’Αλλ’ οὐ συντρέχοντος ταῦτα, μεταμαθόντος δὲ τὸ δέον’. ἡδὺς ὁ ταῦτα προτείνων, ἂν μόνον εὑρήσῃ τὸν παραγόμενον. καὶ γὰρ δέος ἀστάθμητοι ὄντες καὶ εὔριποί τινες καὶ ἀμπώτιδες μὴ πάλιν ἑτέρως ὑπαναγνώσωνται τοὺς νόμους τοῖς παρατυχοῦσι μεταλλοιούμενοι, καὶ Στησιχόρειον ᾄσωσι μέλος πολλὰ τὴν ἁπλότητα κατακερτομήσαντες.

Ἐπὶ τούτοις Ταράσιον ἡμῖν ἐπιστήσουσι φέροντες καὶ τὸ κατ’ αὐτὸν ἐπὶ Κωνσταντίνῳ ἀναμοχλεύσουσιν ἔργον, οὐδὲν οἶμαι τῷ μετὰ χεῖρα συμβαλλόμενον πράγματι, εἴ γε τὸ μὲν δεύτερον ὑπισχνεῖτο γάμον, ὃ καί τισιν ἄλλοις εἰ καὶ βραχέσιν ἄγαν αὐτοκράτορσι προδιήνυστο, καὶ νόμῳ βοηθουμένοις πολιτικῷ καὶ τοῦ πνεύματος, κατὰ δεύτερόν φασι πλοῦν τῷ ἀσθενεῖ | τῆς φύσεως συγγιγνώσκουσι· τὸ 141v
δὲ τέταρτον οὐ κατὰ παροιμίαν οὔτ’ ἄλλῳ τινὶ λόγῳ προσ-

1–3 Heb. 10, 26 || **22–23** CPG II 210 || **24–25** cf. Theophan. 470, 24–28 de Boor || **29–30** CPG I 359; II 24

18 *μεταμαθόντος* Ld: -*ας* V

ευπορούμενον. εἰ μὲν οὖν ἀπεγίνωσκον μηδέν με πλέον τὴν κατ' αὐτὸ ἱστορίαν συνεπισχύουσαν, ἔφερον ἂν πράως τὸν λόγον· ἕως δ' ἂν κἀκεῖνον ὁρῶ τὸν καιρὸν πολλὰ πράγματα τοῖς εὐσεβοῦσι ταύτῃ γε δὴ παρασχόμενον τῇ περιπετείᾳ καὶ οὔπω παυσάμενον πρότερον τὸ κακὸν μέχρις ἂν εὐλόγῳ τὸ προσυνοικοῦν αἰτιάματι ἐκβεβλῆσθαι τῷ φαρμακείαις ὑπορύττειν τὸν γάμον ἐλήλεγκτο, εἰς ἀέρα, τὸ παροιμιῶδες, δέρειν φημὶ τὸν τὰ τοιαῦτα συλλέγοντα. ἀλλὰ μοιχείαν ἀναιδεύσαιτό τις τῷ πράγματι παρομαρτεῖν καὶ τούτου Ταράσιον τοῖς προκειμένοις φωρᾶσαι, ὃ καὶ συγγνώμη ἡ καθ' ἡμᾶς τετίμηκεν ἐκκλησία. παρίημι τὰς ἀπεχθείας ὑποβλεπόμενος· ἀλλὰ γὰρ τί δεῖ πατέρων αἰσχύνην ἀνακαλύπτειν καὶ ἀτιμίᾳ πατρὸς ἐναβρύνεσθαι, μήτε τῷ Χὰμ σωφρονιζόμενον ἀτοπήματι, μὴ τοὺς θείους θεσμοὺς εὐλαβούμενον, καὶ ταῦτα εἰς νόμους ἀνάγειν πειρᾶσθαι ἃ καὶ μόνον ὑποτρέχοντα τῇ μνήμῃ ἐχρῆν ἐγκαλύπτεσθαι καὶ ἀμνηστίᾳ σεμνύνειν οὐχ ἧττον ἢ τὰ πρὸ Εὐκλείδου τοῖς Ἕλλησιν; οὐδὲ γὰρ εἴ τινος ἐμπήρῳ πατὴρ ἐχρήσατο σώματι, ἤδη καὶ τὸν υἱὸν οὕτως ἔχειν νοῦν ἔχων τις ἀξιῴη, ὅτι μηδὲ πρὸς τοὺς παραγομένους ἡ τοῦ αἰτίου μεταβαίνειν πέφυκε λώβη· ἀλλὰ τὸ μὲν ἔστηκε μέχρις ἐκείνου, τοῖς δὲ οὐχ ἡ τυχοῦσα φυλακὴ μὴ τοῖς ὁμοίοις ἁλῶναι πηρώμασιν, ἄλλως τε καὶ εἰ μόνον ὑπείδοιντο ὡς ἄφυκτον τὸ κακὸν καὶ ἅπαξ ἁλόντες τῷ ἐκ προγόνων πηρώματι ἀνάγκη τοῦτο πολλὴ καὶ τοῖς ἀπ' ἐκείνων λυμαίνεσθαι. ἐγὼ μὲν οὖν εἴ τι καλὸν τῶν πατέρων ζηλῶν τὸ περιττὸν ἐγκαλύπτομαι εἰς τὴν ἐσχάτην ἡμέραν θεῷ τοῦτο ὑπερτιθέμενος· ἐπεὶ καὶ Παῦλον τὸν μέγαν ἀκούω μιμεῖσθαι παρεγγυῶντα ἑαυτὸν οὐ κατὰ τὴν Τιμοθέου περιτομὴν οὐδ' εἴ τι φρονῶν ἄλλο ἀνθρώπινον ἐξηνύσατο, ἀλλ' ὃ Χριστὸν αὐτὸς μιμησάμενος πεπραγμάτευται.

26 *περιττὸν*] *ἔξωθεν τὸ ζηλοῦν* **V** mg.

7–8 CPG II 111 adn.; 1Cor. 9, 26 || **13–14** Gen. 9, 27 || **14–15** Lev. 18, 7 || **17–18** cf. Lucian., Catapl. 5; Hermot. 76 || **28–31** 1Cor. 11, 1 || **29** Act. 16, 3

27 *τοῦτο* Ld: *τούτω* **V**

Ἀλλὰ γὰρ ἀκριβῶς σκοποῦντι, ὃ μόνον λοιπόν, οὐδὲ περὶ τῶν προκειμένων καταληφθεῖεν οὐχ ἱεροὶ πατέρες, οὐ νόμοι πολιτικοὶ διατάγματα γράφοντες. ποῦ γάρ τις τούτων ῥητῶς τέταρτον κατωνόμασε γάμον; εἰ μή πού τις γελοίως δέος ἐπιφημίσῃ τοῖς νομοθέταις τοῦ ἀριθμοῦ τούτου, καθάπερ φασὶ τῆς τριάδος τοῖς δαίμοσι. τοὐναντίον μὲν οὖν οἱ τοὺς παλαιοὺς ἀνακαθάραντες τῇ τοῦ τρίτου διαβολῇ τὸ ἐχόμενον πάμπαν ἀπεσκοράκισαν, Βασιλείῳ δὲ τῷ σοφῷ τὸν ὑπερεκπεσόντα τὸ μέτρον τῆς διγαμίας οὐκέτι τῷ τοῦ γάμου προσρήματι σεμνύνειν δοκεῖ. ὃ τοιγαροῦν καὶ πολιτικῶν ἀνακάθαρσις νόμων τῇ τοῦ προηγουμένου γάμου ὕβρει καὶ ἀποτρίψει ἀτοπώτατον ἀνεδίδαξε καὶ πολλῷ πρότερον πατέρων στόματα θεολόγων τὸ μὲν τῶν ἁγίων ἐκκλησιῶν ὡς ῥύπασμά τε εἶδε καὶ ἐλογίσατο, τὸ δὲ ὡς γένους ὑπερό|ριον ἀνθρωπίνου καὶ τῷ συφεῷ 142r
συναγόμενον λήθῃ παντελεῖ ἐμωμήσατο, τούτου κατ[άρ]ξαι σοί, τῷ καθ' ἡμᾶς αὐτοκράτορι, κακοδαιμόνως προσνεῖμαι ἄγαν εὐλαβῶς διακείμενος, ἐπέχω καὶ μέχρι θανάτου τὴν τοιαύτην ψῆφόν τε καὶ ἔνστασιν ἑαυτῷ κρατυνόμενος.

Κἀγὼ μὲν οὕτως· εἰ δέ τις κατὰ τοσοῦτον φιλῶν μὲν βασιλέα ὥστε τὰ πρὸς ἡδονὴν συνεργεῖν, διαβέβληται δὲ τοῖς θεοφόροις πατράσι, δικάσει τῇ ἀνυπερβλήτῳ ταύτῃ φιλίᾳ εὖ οἶδα καὶ σύ, βασιλεῦ, τῆς χρείας ἀπολυόμενος· καὶ τὸ πρὸ προσώπου κυρίου διαπορευόμενον πῦρ, ὃ καὶ τὰς τῶν διδασκάλων οἰκοδομὰς δοκιμάσει καὶ τὰς τοῦ θεμελίου Χριστοῦ ἀναξίας ἐκδαπανήσει, κἀμὲ τὸν κατάπτυστον ἴσως τῇ φωτιστικῇ αὐτοῦ καταστράψει δυνάμει μέχρις αἵματος ἀντικαταστάντα πρὸς τὰ νῦν ἀνεπιστάτως καινοτομούμενα. ἑνὶ δὲ λόγῳ, σοφώτατε βασιλεῦ, εἰ τοὺς ἱεροὺς ἥγηνται πατέρας τὸ προκείμενον ὑποτιμωμένους, χρήσθωσαν τῇ τούτων ὑποτιμήσει μηδὲν ὅλως

6–8 Rhalles-Potles 5, 253 || **8–10** Bas., Ep. 188, can. 4, PG 32, 673A9–11 || **13–14** Bas., Ep. 199, can. 50, PG 32, 732C4–5 || **15–16** Ep. 217, can. 80, PG 32, 805A14–B1 || **24** Ps. 96, 3 || **24–26** 1Cor. 3, 11–13 || **28** Heb. 12, 4

16 *κατάρξαι*] suppl. Ld

ὑποβλεπόμενοι, καὶ οἰκονομία μηκέτι τὸ πρᾶγμα καλείσθω εἰς τὴν τῶν πατέρων κρίσιν ἀναπεμπόμενον. εἰ δ' ὅπερ οὐκ ἔστιν οὐδὲ αὐτοῖς συνδοκεῖ, σχολαζέτωσαν οἰκονομίαι ὡς οὐδὲν μᾶλλον οἰκονομίαι ἢ οἰκοφθορίαι καὶ οὖσαί τε καὶ ὀνομαζόμεναι. οἱ γὰρ μὴ κρίσει λελογισμένῃ ἐξανυόμενοι τὰ σωτήρια ἀλλ' ἀρεσκείᾳ, τὰς ἐξ ἀνθρώπων ἀποσκοποῦντες τιμάς, τοῦ φόβου λαθόντες κυρίου, παίζουσι μὲν πολὺ πρότερον ἑαυτοὺς ὀλέθριον παιδιάν, εἰς μάτην δὲ τὸ διδόμενον τῷ λαμβάνοντι ψιλῇ γλώσσῃ καὶ ἀραιοῖς τοῖς χείλεσιν ἐκπτυόμενον.

Ἔχεις τὴν ἡμετέραν, κράτιστε βασιλεῦ, περὶ τῶν προκειμένων ἀπολογίαν, καὶ οὐδὲ φαύλην οἶμαι ἢ τῶν ἀντιλεγόντων τὸ ἧττον ἔχουσαν ἀποφέρεσθαι, εἰ μὴ καὶ δρᾶσαι οἵαν τε πᾶν ὅ τι καὶ βούλοιτο ψυχὴν μηδὲν ταπεινὸν ἢ καταβεβλημένον ἐννοουμένην μηδ' ὅπερ βασιλικῆς μεγαλοφροσύνης καὶ κράτους τοῦ ἄνωθεν συνιείσης ἀνάξιον. ἀλλ' εἰ μὲν κατ' εὐχῆς ἔργον χωροίη τὰ πράγματα, τῇ γνώμῃ σύνδρομος ὁ λόγος καὶ χάρις θεῷ· εἰ δ' ὃ πᾶς τις τῶν βελτιόνων ἀπεύξαιτο, ἐμοὶ μὲν κατὰ τὴν ἐμαυτοῦ τάξιν ὅση δύναμις ἀφωσίωται καὶ πρὸς ἀθῴωσιν ἀφορᾷ τὰ τῆς πράξεως, ὁ θεῖος χρησμὸς ὑποβάλλεται· εἴ τι δ' ἀντιπαῖον τῷ λόγῳ, τῇ τῶν ἀκροατῶν εὐγνωμοσύνῃ τοῦτο προσανακείσεται.

21 *εἰ μὴ ἦλθον καὶ ἐλάλησα αὐτοῖς, ἁμαρτίαν οὐκ εἶχον* V mg.

21 Io. 15, 22

5 *λελογισμένῃ* Wk: -οι V

69

Τῷ αὐτῷ περὶ τῶν αὐτῶν

Reliqua pars Op. 68. etsi haec quoque speciem epistulae ad Leonem datae prae se fert, passim per apostrophen Nicolaus eiusque socii adpellantur. »Quae dixi sufficerent, nisi novi quidam theologi legibus obscuris et aut falsis aut antiquatis fideles confundere conarentur et Basilii canones in suam sententiam detorquere. dicunt Basilium can. 4 polygamiam non multo severius quam secundas nuptias coercuisse, sua profecto luxuria et avaritia digna proferentes. Basilius enim cum de 'trigamis et polygamis' loquitur, procul dubio 'trigamos sive polygamos' significat (secus quam in can. 80, ubi patres tacuisse de polygamia dicens haud magis ambigue quartum matrimonium et ultra indicat), idque e forma singulari *τὸ τοιοῦτον* qua paulo inferius usus est patet. secundum arithmeticos numerus ternarius est principium pluralitatis, unde efficitur trigamos id ipsum polygamos esse; tamen cave colligas, cum eidem generi subiungantur et hic et sequentes numeri, nihil inter eos interesse. Basilius ergo, trigamia polygamiae nomine diffamata, statim ad propositum revertitur nec nisi de tertiis nuptiis hoc quidem canone tractat; nam ex iis quae deinde de Samaritide dixit, apparet longius procedentes longius a bono aberrare. eodem pertinent paenitentiarum gradus (can. 4): quod enim in can. 50 dicit trigamiam publicis poenis non subigi (quod vos improbe de discidio non exigendo intellegi vultis), nihil aliud nisi poenam leviorem imponit quam quae fornicationem solutam insequitur. quae eodem genere, scilicet pluralitate, circumscribuntur, non ideo et cetera communia habent, neque enim elephantus et formica; quamobrem trigamos in ecclesiam recipiens tetragamos excludit eademque poena qua fornicatores perditos castigat. itaque sine correctione morum, id est sine discidio, licet disertis verbis non imponatur, talis medicina adhiberi non potest. eodem pertinet quod, cum inter matrimonium et fornicationem nihil medii sit, coniugii nomen tali consuetudini negatur, quamquam id lippis hominibus non apparet. ipsa porro vocabula quibus utitur

69 V – Jk-Ld pp. 312–322

Basilius in can. 80 hoc significant; nam quid aliud sibi volunt illud 'aequum est' et 'nimirum'? neque voces 'et talia' in can. 50 obviae aliter intellegendae sunt, ut ex aliis locis Basilii efficitur. etiam si res ipsa in dubio esset, honestioribus potius accedere deceret quam sententiae tempori servientium. bonum simplex est, vitia multifaria et infinita, pessimique amici sunt qui iis imperatorem dedere parati sint. utinam cum ecclesia in gratiam redire malit!«

[Ἃ] μὲν οὖν προσῆκε, χρηστότατε βασιλεῦ, κράτει τοσούτῳ ἡμᾶς τε καθ' ἱερέας εἰπεῖν καὶ σὲ βασιλείῳ φαιδρυνόμενον ἀρετῇ ἐπακοῦσαι τοῖς τε φιλανθρώποις καὶ συμπαθέσιν ἡμῶν ἀδελφοῖς εὐγνώμονι τρόπῳ καὶ φιλαδέλφῳ γνωρίσαι, τοιαῦτά τε καὶ τοσαῦτα, οὔτε περιττῷ καὶ παρ- 142ᵛ *έλκοντι τῷ πλήθει τὸ περικορές τε | καὶ ὀχληρὸν ὑπερχόμενα, οὐ τῷ ἀκαίρῳ τε καὶ ἀχρήστῳ πρὸς ματαιότητος ὕβριν μετανιστάμενα, εἴ τι δ' ἑκατέρῳ καλὸν προσλαβόμενα, καὶ πλήθει τὸ μέτριον καὶ χρείᾳ τὸ ἐπιτευκτικόν τε καὶ καίριον. ἐπεὶ δέ τινας ὁρῶ οὐ μόνον οὐκ ἐγκαλυπτομένους οἷς τὸ τῆς Χριστοῦ μερίδος σεμνόν τε καὶ ἅγιον νόμοις οὐδὲν σαφὲς ἔχουσι καὶ παραγράπτοις ἢ καὶ πάλαι τεθνηκόσι τῇ ἀχρηστίᾳ διαφθείρειν βουλεύουσιν, ἀλλ' ἤδη καὶ τὴν καθ' ἑαυτοὺς ἐλᾶν, τὸ τοῦ λόγου, παρωσαμένους ἐξ αὐθαδείας καὶ ἀμαθίας, μήπω τῆς ἀπὸ τῆς κώπης, ὅ δή φασι, ταλαιπωρίας ἀπηλλαγμένους, ἔτι πνέοντας ἄντλου καὶ τῆς ἀπὸ τῆς νεὼς ἀηδίας, εἰς τὰ τῶν ἁγίων ἄδυτα παρεισφθείροντας ἑαυτοὺς πλήρει στόματι κακίας ἁμαρτωλοὺς τὴν τοῦ θεοῦ διαθήκην ἀναλαμβάνοντας, μισοῦντας παιδείαν, διώκοντας μάταια, χαλινὸν σωφροσύνης ἀποσειομένους, λόγους τῷ ὄντι βασιλείου φρενός, οὓς εἴ γέ τις ὑπῆν σωφροσύνη πόρρωθεν ἐχρῆν ἀκούοντας ἀγαπᾶν, οἱ δὲ καὶ πελάζουσιν ἀναιδῶς καὶ στρεβλοῦν οὐ παύονται τολμηρῶς καὶ εἰς τὰ ὀπίσω ἐκβάλλοντες συνηγορεῖν ἑαυτῶν*

14 CPG I 314; II 217 || **15–16** CPG I 195; II 12 || **18–19** Ps. 49, 16 ||**19–20** ib. 17

1 *Ἃ* suppl. Ld: **V** evan. || **22** *ὑπῆν* Jk: *εἰπεῖν* **V**

τῇ αἰσχίονι γνώμῃ βιάζονται· — φέρε δὴ φέρε εἴ πως δυναίμην (δυνήσομαι δ' εὖ οἶδα, καὶ θρόνου διάδοχος ὢν καὶ ταῖς εὐχαῖς τούτου τὸ δύνασθαι πορίζόμενος) καὶ τούτων φωρᾶσαι τὸ ἄλογον κἀκείνου τὸ ἐρήμην καταδιαιτηθῆναι προσαφελεῖν.

Φασὶ γάρ τοι οἱ πάντα καὶ τὰ ἀκίνητα θράσει πολλῷ κινεῖν ῥέοντες ἐπιμελὲς ὑπάρξαι Βασιλείῳ τῷ θείῳ γράφοντι Ἀμφιλοχίῳ, ἀνδρὶ μὲν ἐκ γειτόνων, εἰς τὸν Ἰκονίου δὲ παραγγέλλοντι θρόνον, — μάλα καὶ αὐτῷ τὸ σεμνότατον τοῖς λογικοῖς θρέμμασι σπουδαζόμενον, — τήν τε πολυγαμίαν τῇ καθ' ἡμᾶς πολιτείᾳ εἰσκρῖναι βραχεῖ τινὶ πλέονι τοῦ δευτέρου περιβαλλομένην εὐθύνῃ, καὶ τῇ τοῦ τρίτου ὑφέσει πρὸς δέκατον γάμον καὶ εἰκοστὸν καὶ ὅποι δ' ἄν τις καὶ βούλοιτο παρεκτείνειν, κατὰ τὴν Σολομώντειον βδέλλαν ἢ τὴν μυθικὴν ὕδραν τοῦ κόρου καὶ τῆς πονηρᾶς βλάστης οὐκ ἀπολήγουσαν. ἐγὼ δέ, εἰ μὲν Ἡρακλέα τὸν Ἀλκμήνης {ἢ} τῷ Χαλδαίῳ προὔκειτο Σαρδαναπάλῳ γράφειν καὶ ταῦτα ἵπποις καὶ ἡμιόνοις νομοθετοῦντα, εἶχον ἂν οὐκ ἀηδῶς τῷ ληρήματι· ἐπειδὴ δὲ ἄνδρες μὲν οἱ θεσμοθέται κατὰ πνεῦμα φθεγγόμενοι ἁγιωσύνης, Χριστοῦ δὲ τάττοντες μερίδι τὸν νόμον καὶ ταύτην ἀσφαλῶς διατάττοντες, ἆρ' οὐχὶ τὸ βλάσφημον ὑπερπετὲς καὶ τῆς κατὰ τοῦ θείου πνεύματος ὕβρεως; ἐγὼ μὲν οἶμαι, εἴ γε τὸ εἰς αὐτὴν τὴν ἐνέργειαν δύσφημον τῆς περὶ τὸ ἐνεργοῦν πονηρᾶς ὑπολήψεως ἧττον νενόμισται. ἀλλ' ὅτι μὲν οὗτοι ἐξ ἀρᾶς καὶ ψεύδους διαγγελήσονται, τὸ ᾀδόμενον, ἐν συντελείᾳ, μὴ τὸ μηδὲν ἄγαν εὐλαβηθέντες, μὴ τὸ ταῖς ἡδοναῖς ἀκολάστως ἐφεῖναι, ἀμέτρῳ δέ τινι λύσσῃ τῇ περὶ τὸν πλοῦτον πλεονεξίᾳ καὶ τὰ σαρκὸς πάθη | ἐξομοιού- 143r
μενοι, ἐκεῖνος ἂν ἀγνοῇ ὃς οὐκ ἐφορᾶν τὰ τῶν ἀνθρώπων θεὸν ἅγ[ιο]ν ἡγεῖται καὶ καθαρώτατον, καὶ τοσοῦτον αὐτῷ μέλον τοῦ καθαροῦ βίου καὶ τοῦτον ἡμῖν βραβεῦσαι καὶ

6–7 CPG I 22; II 5 || **8–12** Bas., Ep. 188, can. 4, PG 32, 673 A1–5 || **14–16** Prov. 30, 15 || **22–23** Mt. 12, 31 || **26–27** Ps. 58, 13

17 ἢ **V**: del. Ld || **31** ἅγιον] suppl. Wk

εἰσηγήσασθαι ὡς καὶ παρθένου τόκῳ τὴν μετ' ἐμοῦ καινίσαι ἀναστροφήν, καὶ τὸν καιρὸν εἶναι συνεσταλμένον τρυφῆς ἐνδεᾶ καὶ τῆς ἄλλης περιπαθοῦς ἀπολαύσεως ἀνειργόμενον αὐτόν τε παιδεύειν τῷ καθ' ἑαυτὸν ὑποδείγματι καὶ δὴ καὶ Παῦλον τὸν θεῖον τούτου προστήσασθαι κήρυκα.

᾿Αλλ' οὗτοι μὲν οὕτως, κακοὶ κακῶς. τίς δ' ἡ παράνοια, ἢ λῆρον μακρὸν ὠδίνησέ τε καὶ ἔτεκεν ἐξ ἀπονοίας τῶν μήθ' ἑαυτοὺς εἰδότων, μὴ περὶ ὧν διαβεβαιοῦνται ἐχόντων τι παριστᾶν εὔλογον, ἐντεῦθέν ἐστιν ἑλεῖν καὶ προθυμίᾳ καταβαλεῖν μείζονι. ἡ γάρ τοι ʽπερὶ τριγάμωνʼ μελαγχολῶσα διάτασις ʽκαὶ πολυγάμωνʼ, ᾧπερ εὐθὺς ἰσχυρίζονται, τῷ συνδέσμῳ φάσκοντες τὸ πάντῃ διάφορον ὑπεισέρχεσθαι τῶν συναπτομένων, ὡς καὶ τὸ δεύτερον τῇ αὐτῇ τῷ προτέρῳ ὑποτιμήσει ὑπάγεσθαι, οὐ χαλεπὴ πρὸς καθαίρεσιν τῷ μὴ παρέργως τῆς γραφῆς ἐπακούοντι· πολλὰ γὰρ ἐκεῖ τῷ τοιούτῳ συνδέσμῳ δοκεῖ μὲν ὑπαλλάττειν τὸ λῆγον πρὸς τὸ ἡγούμενον, μένει δ' οὐδὲν ἧττον κατὰ χώραν τὰ τῆς ἐννοίας, ὡς τὸ ʽοἱ γηγενεῖς καὶ οἱ υἱοὶ τῶν ἀνθρώπωνʼ καὶ ʽἐγκατέλιπε θεὸν τὸν ποιήσαντα αὐτὸν καὶ ἀπέστη ἀπὸ θεοῦ σωτῆρος αὐτοῦʼ ἐκδιδάσκει με· εἰ γάρ τοι καὶ πλέον εἰσφέρει τὸ ἐπαγόμενον, ἀλλ' οὖν οὐχὶ καὶ τοῦ προκειμένου ἀπορρηγνύμενον, ὥσπερ ἐπὶ τοῦ ʽοἱ οὐρανοὶ τῶν οὐρανῶν καὶ τὸ ὕδωρ τὸ ὑπεράνω τῶν οὐρανῶνʼ. φημὶ γὰρ κἀγὼ ἐπάγειν μέν τι διάφορον ἐνταῦθα τὸ τῶν πολυγάμων ὄνομα, ὄνειδος δέ· οὐ μέντοι γε διὰ τοῦτο ἐφ' ἑτέρων πάντῃ φῶμεν ἤδη καὶ πάντως ἐξωθεῖσθαι τὸ διὰ τούτων δηλούμενον. οὐ γὰρ τοσοῦτον γνώμης ὁ τοσοῦτος ἀνὴρ διημάρτανεν, εἴ γε καθ' ὑμᾶς ἑτέροις, οὐ τοῖς τριγάμοις νῦν μόνοις, ὁ λόγος ἁρμόζοιτο, ὡς ἄρτι μὲν λόγῳ φάσκειν τῶν πατέρων τούτους ἐπιτιμᾶσθαι, ἔτι δ' ἐναύλων τῶν ῥημάτων ὑπόντων καὶ τῶν χειλέων ῥεόντων

2–6 1Cor. 7, 29 || **11–12** Bas., Ep. 188, can. 4, PG 32, 673 A1 || **19–20** Ps. 48, 3 || **20–21** Deut. 32, 15 || **23–24** Ps. 148, 4 || **30–31** Bas., Ep. 188, can. 4, PG 32, 673A1–7 || **31**–p. 81,3 ib. A12–B5

τὸν λόγον αὖθις εἰσάγειν αὐτοὺς τοῖς μὲν πατράσιν ἀμνηστουμένους ἐπιτιμᾶσθαι μηδ' ὅλως, γνώμης δ' οἰκείας τὴν περὶ τούτων κρίσιν καὶ διάγνωσιν ἔχεσθαι. Κοροίβου, βέλτιστε, ταῦτα καὶ Μαργίτου ἢ καὶ τῆς ἀνὰ πάντων στόμασιν Ἀκκοῦς, ἀλλ' οὐκ ἀνδρὸς ᾧ τά τε ἄλλα προσεῖναι καλὰ καὶ τὸ ἐμφρονέστατον πᾶσιν ἀοίδιμον. πίστις τοῦ λόγου τὸ μηδ' ὡς κατὰ πολλῶν τὴν κατὰ ποιότητα τοῦ πράγματος κλῆσιν προϊόντα ἐπενεγκεῖν· τί γάρ φησιν; ‛ὀνομάζουσι δὲ τὸ τοιοῦτον'· καίτοι γε ἐχρῆν οἶμαι, εἰ παραλλάττουσαν εἰσῆγεν ἐνταῦθα πολυ|γαμίας τὴν τριγα- 143v *μίαν, ὥσπερ μετὰ ταῦτα προθυμηθείη, καὶ τοῦτ' ἐκ παντὸς ᾤετο, μὴ καθ' ἑνὸς τῶν ὀνομάτων τῇ ἐπιφορᾷ, περιληπτικῇ δὲ καὶ τοῦ λοιποῦ τῇ φωνῇ μεγίστην ὑμῖν ταύτην προσνέμοντα ῥοπὴν χρήσασθαι· ὅπου γε μικρὸν τοῦ λόγου προβὰς καὶ καθ' ἑνὸς τοῦ τριγάμου ‛τὰ τοιαῦτα' ἐπαγαγὼν (ὁ λόγος, κριτὴς ἀληθής, μετὰ βραχὺ δοκιμάσει) τῷ μερισμῷ τῆς ἐννοίας πολλὰ παρέσχεν ὑμῖν πράγματα κατὰ πολλῶν εἰλῆφθαι τοῦτο βιάζεσθαι. νῦν δὲ οὕτω τοῦ προκειμένου μνησθεὶς δῆλός ἐστιν ὡς οὐχ ὑμῖν τῇ δ' ἡμετέρᾳ γνώμῃ συνέπαινος.*

Ἀλλ' ἕτερον καὶ οὕτω διατείναιντο κακοδαιμόνως τὸν τρίγαμον ἐνταῦθα σημαίνειν τοῦ πολυγάμου; εἰ κωφοῦ θύραν ἐλάθομεν κόψαντες τοῖς προεφωδευμένοις, βοήσωμεν γεγωνότερον· ἐκεῖνο τοῦτο τὸ καὶ κατὰ παῖδας μάθημα, ὡς ὁ τρεῖς ἀρχὴ πλήθους ἐστίν, ἐκ γὰρ αὐτοῦ πρώτου τὸ πλῆθος ἀφωρμημένον πρὸς τοὺς ἑξῆς παραπέμπεται. πῶς οὖν οὐκ ἄτοπον, πῶς δαὶ μᾶλλον οὐκ ἄλογον, τὸ μὲν ἑτέρωθεν προσλαμβάνον τι ἔχειν ἐπ' ἀδείας τὸ προσληφθέν, αὐτὸ δὲ τὸ τῆς ἀρχῆς ὑπάρξαν στέρεσθαι τοῦ οἰκείου καὶ οὗπερ ἀρχή· ἢ καὶ πηγὴν εἰς πολλὰ ῥεύματα σχιζομένην αὐτὴν μὲν ἐνδεῶς ἔχειν ναμάτων, τὰς δ' ἀπὸ ταύτης ἀφέσεις πλημμυρεῖν τοῖς ῥείθροις, σοφώτατοι, ἀξιῴητε;

3–4 CPG I 101; II 483 | ib. II 517 || **4–5** ib. I 21; II 5 || **9** Bas., Ep. 188, can. 4, PG 32, 673A5–6 || **14–16** Ep. 199, can. 50, PG 32, 732C3–7 || **16** infra p. 89, 28–90,9 || **22–23** CPG I 370 adn. || **24–25** {Iambl.}, Theologum. 17, 15–16 de Falco

ἀλλ' οὐ σὺν λόγῳ τὸ ἀξιούμενον· πρώτη γὰρ ἡ ἀρχὴ τῶν κατ' αὐτὴν ἀπολαύουσα οὕτω καὶ τοῖς ἀπὸ ταύτης ἐνδίδωσι· διὸ δὴ καὶ τῷ τρία ἐν δίκῃ τὸ πολὺ πρότερον ἐνυπάρχον ἀπ' ἐκείνου πρὸς τὰ μετ' ἐκεῖνο παραπεμφθήσεται. καί μοι μηδὲν ἐπηρεάσῃς πικρῶς ἐναλλόμενος, εἰ τῆς ἀρχῆς ἐξηρτῆσθαι τὰ μετ' αὐτὴν ὁ λόγος ὑπέστησε, μᾶλλον δὲ τῷ πρώτως τῆς τοῦ πλήθους ἰδιότητος μετεσχηκότι συνέπεσθαι τὰ ἐφεξῆς, σὺ δὲ βιάσῃ τῶν αὐτῶν διὰ τοῦτο τυγχάνειν κἀκεῖνα οἷς τε ἡ τάξις ἐφυστερίζουσά πως καταλαμβάνεται καὶ οἷς ἔμπαλιν τὸ προτερεύειν ἀποκεκλήρωται, τῷ σχέσει τινὶ συνδεῖσθαι τὰ κατ' ἐκβεβηκυῖαν εἴδους ἑτερότητα θεωρούμενα, κακῶς οὕτως καὶ ἀφιλοσόφως εἰδὼς καὶ ἀνατροπὴν θολερὰν τὸν πλησίον ποτίζειν αἱρούμενος καὶ οὐδ' ἐκεῖνο δυσωπηθεὶς ὡς οὐδ' οἷς πρός τί πως ἔχειν συμβέβηκεν ἔνεστι τὸ καινὸν τοῦτο κατιδεῖν μάθημα. ἓν γὰρ ἐκεῖ καὶ ταὐτό πως τὸ συνδέον, ὃ δή φασι σχέσιν, κατείληπται, οὐ μέντοι ταὐτὰ διὰ τοῦτο οὐ τὸ συνδέον, οὐ πολὺ πρότερον ἃ τῷ συνδέσμῳ συνάπτεται. ἢ γὰρ ἂν οὐδ' ἂν τὴν ἀρχὴν κατεδεῖτό τε καὶ συνήγετο, μηδενὶ τῷ ὑπαλλάττοντι τὸ ἰδιάζον ἐμφαίνοντα. εἰ γάρ τι δεῖ καὶ τῶν ἄλλων ἀνώτερον φιλοσοφῆσαι, ἐν οἷς τὸ ταὐτόν, ἐν τούτοις πῃ καὶ θάτερον ἀναντιρρήτως ἐστὶν ὁρᾶν, καὶ οἷς οὐ θάτερον, οὐδὲ τὸ ταὐτόν. τίνι γὰρ ἄν τινα καὶ διενέγκοι καὶ κοινωνοίη ἅπερ ἢ παντελεῖ τῇ ἐξιδιώσει ὁρᾶται διάφορα ἢ τῇ ἀπαραλλάκτῳ ταυτότητι πρὸς ἀδιάκριτον ἕνωσιν πιεζόμενα, πλὴν εἰ μή πού τις ἀνάλογος ὁμοιότης ἐνθεω-
144r *ρεῖται | ἢ κοινοτέρῳ τινὶ ταῦτα συνάπτοιντο πρὸς αὐτὸ τὴν ἀναφορὰν ἔχοντα, ὃ γένος καλεῖν τοῖς περὶ ταῦτα κομψοῖς ἔδοξε; τάχα δὲ χωρὶς τοῦ πρός τί πως ἔχοντος οὐσίας, εἰ μή τις ἄλλως τοῖς ὑπὸ Πλάτωνος ἐπαιρόμενος πρός τι*

13 Hab. 2, 15 || **28–29** cf. Aristot., Top. I 5, 102a31–b5; I 18, 108b22–23 || **30**–p. 83,1 cf. Plat., Soph. 255c8–e7; Resp. IV 438c8–e7; Simpl., Categ. (CAG VIII) 159, 9–22; Olympiod., Categ. (CAG XII 1) 112, 19–113,6; Elias, Categ. (CAG XVIII 1) 205, 17–31; 215, 21–216, 31

2 $\overset{\text{οι}}{\text{τῆς}}$ **V** || **17** ταὐτὰ Jk: ταῦτα **V**

πάντα φιλονεικοίη, τρόπον ἄλλον ὃν κἂν τοῖς ἐναντίοις πᾶσι τὴν πρὸς τὰ ἄκρα μεταχωροῦσαν μεσότητα, δεινῶς σπαράσσων τὸν λόγον καὶ τὴν τῶν ὄντων ἐνάργειαν καὶ γνῶσιν συγχέων καὶ ἀφαιρούμενος, ἐν μηδενὶ ταῦτα τῶν ἑαυτῶν ὅρων ἑστάναι φιλοσοφεῖν ἀνεχόμενος. ἐπεὶ δὲ ταῦτα, τίς ὁ καταναγκάζων ἔτι ἢ τὰ τῇ τάξει δεύτερα τοῖς πρώτοις εἰς ταὐτὸν ἄγειν κατὰ τὴν φύσιν καὶ τῇ τοῦ πλήθους μεθέξει καὶ τἄλλα κοινοῦν, ἢ τὰ πρῶτα συνείρειν τοῖς ἐφεξῆς καὶ πάντῃ τὸ ταὐτὸν αὐτοῖς ἐπιμαρτυρεῖν ἀπὸ τούτων αὖθις ἑνωτικῶς ἐκδεχομένοις ἃ τὸ διάφορον ἑκατέρων πρὸς ἑαυτὰ πλεῖστον ὅσον ἐνδείκνυται; εἴη γὰρ ἂν οὕτω πάντῃ ταὐτά, ὃ μηδὲ τοῖς πρὸς ἄλλο τὴν ὕπαρξιν ἔχουσιν, ἧπερ ἔφθημεν εἰρηκότες, καὶ δι' αὐτὸ πρός τι λαχοῦσι τὴν κλῆσιν, οὐχ ὅτι γε δὴ τοῖς κατὰ ποσὸν ἀνίσοις, ἐπορεχθήσεται· ἑνὶ γὰρ μόνῳ, εἰ καὶ ταὐτῷ κἀκείνῳ καὶ διαφόρῳ, τῇ διαγούσῃ πρὸς ἄλληλα σχέσει καὶ ταῦτα χαρακτηρίζεται. εἰ γὰρ μὴ τοῦτο, οὐδεὶς λόγος λοιπὸς καὶ τρεῖς τοὺς ἑξῆς καλεῖν ἀριθμοὺς καὶ πάντα τὸν τρία ὅσα μετ' ἐκεῖνον ἡ κατὰ πλῆθος ἀοριστία σωρεύειν ἐπείγεται.

Ἀλλὰ τὰ μὲν καὶ ὑπὲρ τὴν τῶν πολλῶν ἀκοὴν ὁ λόγος ἐβάθυνε· διὸ δὴ τούτων ἀπαλλαγέντες καὶ τῶν εὐχερεστέρων γενόμενοι τὸ ἀνωτέρω παρειμένον ἡμῖν ἀποπλήσομεν. καὶ γὰρ ἔφαμεν τὰ συνδεόμενα οὕτως ἐπάγειν μέν τι τοῖς ἐξ ἀρχῆς καθ' ἑτέραν διάνοιαν περιττόν, μὴ μέντοι καὶ πρὸς διάστασιν παντελῆ λυμαινόμενον, ἀλλ' ὅτε τοῦτο σκοπός, ἀποκληροῦν αὐτίκα τῇ προθέσει τὸν λόγον· καὶ ὅτι τοῦτο, προϊὼν οὗτος σαφέστατον καταστήσεται. τοῦ μὲν γὰρ τάχιστα ἀπαλλάξεται, οὐκέτι πολυγαμίας ἐπιμνησθεὶς ἢ ὅσον, φασίν, ἐπιψαῦσαι τῷ λόγῳ οὗ χάριν πολυγαμίαν τὸν τρίτον ἐκάλεσεν (ὀνείδει γὰρ καὶ τῷ διασύρειν ὡς καὶ πορνείαν κεκολασμένην), τὸν πάντα δὲ λόγον τῷ τρίτῳ τέως καταναλώσει.

29 ex. gr. Herod. 2, 65 || **29–32** Bas., Ep. 188, can. 4, PG 32, 673A5–7

14 *ποσὸν* Ld: *ποσὶν* V

Οὐχ ἧττον εἰς ἀπόδειξιν τοῦ κατὰ ψόγον πολυγαμίαν κατωνομάσθαι τὴν τριγαμίαν καὶ τὸ κατὰ τὴν Σαμαρεῖτιν τοῦ κυριακοῦ ἐλέγχου ἐπεισόδιον· δι' ὧν τε γὰρ τοὺς ὑπερεκπεσόντας οὐκέτι τῷ τοῦ ἀνδρὸς ἢ τῆς γυναικὸς ὁ τὸ ῥητὸν ἀναπτύσσων ἀξιοῖ σεμνύνειν προσρήματι δίδωσι νοεῖν κατὰ τὸ τῆς ἐννοίας ἀκόλουθον, οὐκ ἂν ἄλλως ἐπ' ἄλλου λαμβανομένου, ὡς ἀκαταγνωστότερον τριγαμία πολυγαμίας· τὸ μὲν γὰρ ἐκπέπτωκε μόνον, ὑπερεκπέπτωκε δὲ
144ᵛ *πολυ|γαμία· οὐδὲ γὰρ μάτην τῷ ῥήματι προσκείμενον ἡ ἐπίτασις, εἴ γε κατὰ τὴν τοῦ κυρίου φωνὴν ἰῶτα ἓν ἢ μία κεραία οὐ κατὰ πάρεργον τοῖς θεσμοθέταις παρείληπται. εἰ δὲ μέσον τὸ ἐκπεπτωκὸς ἑστώτων καὶ ὑπερεκπεπτωκότων, εἰκότως καὶ τριγαμία τῷ κρείττονι τῶν μετ' αὐτὸ καθυπερτεροῦσα τῆς τάξεως καὶ εἴ τι πρόσεστι τοῖς μεσουμένοις τούτων παραπολαύσεται, καλῶν μὲν τῶν καλλιόνων, κακῶν δὲ τῶν κακιόνων· ἀφ' ὧν καὶ ταύτῃ γάμου μὲν ὄνομα ποσῶς ἐφεῖται τῷ τοῦ ἀγαθοῦ γειτονήματι, πορνείας δέ, εἰ καὶ κεκολασμένης, τῷ προσπελάζειν τοῖς ἐνευθηνουμένοις τῷ ἀκολάστῳ τοῦ ἐπιτηδεύματος καὶ ἀφέτῳ· ἐξ οὗ γε δὴ καὶ τὸ κατ' αἰτίαν παραλαβεῖν τὸ ὑπόδειγμα οὐκ ἄλλο οὐδὲν ἢ λόγον παρεχομένου, ὡς καὶ μικρὸν ἄνω ὁλοσχερέστερον προδιείληπται, καθ' ὃν τὸ μὲν πολὺ τοῦ γάμου ἀπεσκοράκισται, τὸ δὲ τῆς πορνείας κεκολασμένον ἐπανορθωτικῶς τῷ τρίτῳ ἐπιφημίζουσιν. οὐδὲ γὰρ οὐδ' ἄλλως ὅσιον κατεφαίνετο πρᾶγμα μήπω γε παντάπασι τῶν ἀκαταγνωστοτέρων ἀπηρτημένον τοῖς δυσφημοτάτοις συντάττεσθαι καὶ ὧν ἡ βδελυρία, ἧπερ αὐτῷ τούτῳ δοκεῖ Βασιλείῳ, ὡς πορρωτάτω τοῦ ἀνθρωπείου γένους ἀπῴκισται.*

Καὶ οὐχὶ τούτοις μόνοις τὸ διάφορον ἤδη κατοπτεύεται καὶ γνωρίζεται, ἀλλά γε δὴ καὶ τάξει βαθμῶν τε καὶ ἀριθμῶν τοῦ ὑποτιμῶντος χρόνου καὶ ὅσοις ἄλλοις ἐξάντη φανῆναι

1–5 ib. A7–11 || **2–3** Io. 4, 17–18 || **10–11** Mt. 5, 18 || **21–22** supra p. 83,27–32 || **27–29** Bas., Ep. 217, can. 80, PG 32, 805A14–B1

27 *ἧπερ* Ld: *ἡ περὶ* V

τῶν οὕτω κακῶν περιγίνεται. τὸ μὲν γὰρ ἐντὸς ἵστησι τῶν ἁγίων, δημοσιεύων τῇ ἐκβολῇ τὸ ἁμάρτημα κατὰ τὴν μοιχείαν συνεγνωκυῖαν ἑαυτῇ καὶ μετανοίᾳ μὲν ἀποτριβομένην τὸ ἄγος, οὐχὶ δὲ καὶ τῇ στάσει τὸν ἄνδρα τοῦ κακοῦ συνιέντα πρὸς φόνον ἐξοπλιζούσῃ· τοῦτο γάρ, σοφώτατε, βούλεται τὸ σοὶ παρανοούμενον κακοσχόλως ἐπὶ τοῦ 'δημοσίαις δὲ καταδίκαις οὐχ ὑποβάλλομεν', εἴ γε τὸν λόγον ἱκανὸς ὁ πρεσβύτερος Βιάνωρ πιστώσασθαι, αὐτὸς μὲν μὴ δημοσίᾳ, μὴ ἰδίᾳ ἱερᾶσθαι παραχωρούμενος, οἱ δὲ τὴν Ἀντιόχου καταλιπόντες πρεσβύτεροι δημοσίᾳ μὲν οὔ, ἰδίᾳ δὲ μεθιέμενοι. αὐτοί γε μὴν τὴν δημοσίαν καταδίκην τῇ διαστάσει τοῦ συζυγίου παρεξηγούμενοι οἰκονομεῖσθε μέν τι τῷ κακῷ τὸ ἀνήκεστον, πόρον τοῖς ἀμηχάνοις οὔτε γῆς, φασίν, οὔτ' οὐρανοῦ ἁπτόμενον ἀνευρίσκοντες. ἀλλ' οὖν οὐκ ἐπιτεύξεται δόλιος θήρας· πόθεν γὰρ ἕξεις τῶν ἱερῶν τοῦτο κανόνων λαβεῖν; οὐκ ἔστιν εἰπεῖν, καίτοι γε τοῖς φθάσασι πλέον ἢ κατὰ βαλανέα, τὸ τοῦ Πλάτωνος φθέγξασθαι, καταν|τληθέντες τὴν ἀκοήν. ἐξ οὗ γε τῷ ὄντι πρὸς 145r τὸ εὖ ἐπαναχθῆναι περιγέγονεν ἂν [καὶ] γνῶναι, εἰ μή τι πάθος τῷ λόγῳ προσίστατο, ὡς τὸ πορνείαν πρὸς τῶν πατέρων ὠνομάσθαι κεκολασμένην τὸν τρίτον καὶ τὸ μὴ πάντῃ ἀπείργειν τοὺς τοῦτον μετερχομένους τῆς ἐκκλησίας οὐκ ἄν τινι διαφέροιεν, τὸ μὲν τοῦ τῆς ἀνειμένης πορνείας αἱρετωτέρου, τὸ δὲ τοῦ μὴ δημοσίαις ὑποβαλλομένου καταδίκαις, ἐπεὶ μηδὲ καθ' ἑτέρου ταῦτα, τοῦ τρίτου δ' ἐπισκήπτεται γάμου, ὃν οὐδὲ νόμῳ τῷ παρ' ἡμῖν ἄγεσθαι ἡ ἱερὰ γλῶσσα ἀπέφηνε. κἀμοὶ οὔπω καὶ τήμερον ἑτέρως γινώσκειν κατὰ τὸ ἄμεινον κέκριται· εἰ δέ τις ἄλλος

1–5 Ep. 199, can. 34, PG 32, 728A11–B1 || **6–7** Ep. 199, can. 50, PG 32, 732C5–6 || **7–11** Ep. 199, can. 17, PG 32, 716 D2–717A9 || **13–14** CPG I 444 || **14–15** Prov. 12, 27 || **17–18** Plat., Resp. I 344d1–3 || **20–21** Bas., Ep. 188, can. 4, PG 32, 673 A7 || **21–23** ib. A14–15 || **23–24** Ep. 199, can. 50, PG 32, 732C6–7 **24–25** ib. C5–6 || **26–27** ib. C3–4

2 leg. vid. ⟨οὐ⟩ *δημοσιεύων* || **4** *ἄγος*] *-γ-* ex *-χθ-* **V** || **14** *ἁπτόμενον* Jk: *ἁπτομένην* **V** || **18** *πρὸς* Wk: *καὶ* **V** (cf. 95,18) || **19** *ἂν* [*καὶ*] Wk: *ἂν* aut *ἀν*, seq. 3 litt. evan. **V**

τὰ τοιαῦτα σοφώτερος, οὐδεὶς φθόνος αὐτῷ τῆς τοσαύτης σοφίας οὐδὲ φροντὶς Ἱπποκλείδῃ, τὸ παροιμιαζόμενον.

Εἰ δ' ὅτι τῷ τοῦ πλήθους ὀνόματι κοινωνεῖ τοῖς ἑξῆς ὁ τρίτος, κατ' αὐτὸ καὶ τἆλλα ἔτ' ἀμαθῶς τούτοις ἐνίστατό τις προσνέμεσθαι ὅσα προσεῖναι τῷ προηγουμένῳ ληφθείη, οὐ σωφρονοῦντος ὁ λόγος· πρὸς οἷς γὰρ οὗτος ἀναποδείκτῳ φάσει ἐκδίδωσιν ἑαυτόν, ἔτι καὶ τεχνικοῖς λόγοις τὸ ἧττον ἀποίσεται. εἰ γάρ τι δεῖ πάλιν τὰς διαλεκτικὰς ἐφόδους ἕτερον τρόπον κινεῖν, εὑρήσομεν πολλὴν τὸ πρᾶγμα τὴν ἀτοπίαν προσευποροῦν· καὶ γὰρ ἐπὶ τούτων ἃ γένη τοῖς κατὰ ταῦτα περιδεξίοις ἔθος καλεῖν, ὀνόματος μὲν κοινωνίαν οὐκ ἄν ποτ' ἴδοις κατὰ τὸ πλεῖον καὶ ἔλαττον, οὐ προφορᾷ, οὐ τῷ πράγματι, ἀλλὰ τὸ μὲν ἰσότητι πᾶσι τοῖς ὑπ' αὐτὸ ἐνδιδόμενον, ἃ δὲ τούτου τετύχηκεν οὐκ ἂν ἀλλήλοις ἀντιδιδόντα τῶν πολλὰ ταῦτα παρεσχηκότων καθίστασθαι. οὔτε γὰρ μύρμηξ εἰς ἐλέφαντα τῇ καινῇ ταύτῃ χάριτι μεταβάλοι, οὐκ ἐλέφας εἰς μύρμηκα, τῷ πρὸς ἓν ἀνάγεσθαι γένος καὶ ζῷον ἑκάτερον καὶ εἶναι καὶ λέγεσθαι· οὐ χρεμετιστικὸν ἄνθρωπος, οὐ γελαστικὸν ἵππος ὀφθήσεται. οὔκουν ἀντιδοίη ταῦτα ἀλλήλοις τῶν καθ' αὐτό· διόπερ οὐδὲ γάμος ὁ τρίτος τοῖς μετ' αὐτόν, ὃν ἀποκεκρίσθαι τῶν ὁμογενῶν πατέρων ἱερῶν στόματα ἱερὰ ἀπεθέσπισε τῇ φύσει τῶν πραγμάτων τὴν περὶ ταῦτα ἀπόδειξιν καταδούμενα, ἀλλ' ὄνομα μὲν τοῦ πολλοῦ καὶ οὐσίαν τοῖς ἄλλοις κοινώσεται, τὰ δ' ἀποτεταγμένα ἑαυτῷ ταμιεύσοιτο. διά τοι ταῦτα τοῦτον μὲν ἐντὸς πυλῶν ἵστησι καὶ τοῖς ἄλλοις ἀκεσωδύνοις καταιονᾷ ὁπόσοις καὶ τὸν ἅπαξ ἁλόντα πορνείας ἐπὰν τῶν ἱερῶν ἐντὸς γένηται θυρῶν (ὑφεῖται γὰρ οὗτος ὁ γάμος τῆς τοιαύτης πορνείας τῷ μὴ τελέως τῇ κατ' αὐτὸν αἰσχρότητι ἐξετάζεσθαι), τὸν δὲ ὑπερόριον τῶν ἁγνῶν περιβόλων ἀπολαμβάνει τὸ ὑπερόριον ἐκλεξάμενον τοῦ γάμου καὶ ἡδονὴν μετὰ πολλὴν ὡς ἀσύμ-

2 CPG I 132; II 594 || 8–14 Aristot., Top. II 2, 109b4–7

13 *πᾶσι* Wk: *πάσῃ* V

φορον πεῖ|ραν τῆς λογικῆς τε καὶ ἔμφρονος προτιμήσαντα, 145ᵛ χρόνῳ τε τῷ ἴσῳ τοῦ πολλάκις τῇ παραχρήσει τοῦ θήλεος τὴν χρείαν ἠτιμωκότος καταδικάζει, τῇ κοινωνίᾳ τοῦ ἔργου ἀφομοιῶν καὶ τὸ φάρμακον καὶ χωρισμῷ τοῦ μιάσματος καὶ ἀλλοτριώσει τὸ τὴν λώβην παρεσχηκὸς σοφῶς ἄγαν καὶ προμηθῶς ἀποικονομούμενος. οὐδὲ γὰρ οὐδ' ἄλλως μεθήσει τὰ φάρμακα ὁ τὴν ἰατρείαν πεπιστευμένος, εἰ μὴ πρότερον αὐτῷ τὸ διαζύγιον πραγματεύσηται. ἀλλ' οὐ προσὸν τῷ κανόνι, ἐρεῖς; ἀλλ' οὐδὲ τούτοις οἷς ὑπερβάλλοντι τῷ κακῷ σαφής τε καὶ πρόχειρος ἡ δικαίωσις. ἢ σύ μοι δοκεῖς καὶ ἀδελφομιξίαν, ὅτι μὴ τῷ κανόνι τοῖς τὸ χαλεπώτατον ἐργασαμένοις ἡ ἀλλοτρίωσις ἔγκειται, οὕτως ἐᾶν οἰκοδομοῦσαν μὲν τῇ μετανοίᾳ, καθαιροῦσαν δὲ τῇ ἐπιμόνῳ λύσσῃ τὸ τῆς σωτηρίας ἀνάκτορον. ἀλλ' οὔτε τὸ πάντῃ δῆλον ὑπομνήσεως ἔχρῃζεν, ὅτι μηδ' ἄλλῳ τῶν ἱερῶν ἐξωθουμένῳ συνῆφθαι παραχωρεῖται τὸ αἶσχος, καὶ τοῖς ὧδε μανεῖσιν ἡ τῆς αἰσθήσεως χρεία προσμαρτυρήσεται.

Ἀλλὰ γὰρ εἴ τις κατ' ἄνδρα φιλοπονώτερον τοῖς παροῦσιν ἐνασχολήσει τὸν νοῦν, οὐδὲ τοῦτο τῇ παντελεῖ καταλήψεται ἀμνηστίᾳ εἰς ἀναντίρρητον ἡμῖν τὸ κράτος περιποιούμενον. τί γὰρ ἄν τις νοῦν ἔχων τὸ λοιπὸν ἐνοχλοίη, ἐπὰν τοῦ θεσμοθέτου τῶν καθ' ἡμᾶς ἐπακούσῃ μηκέτι τοὺς πολυγάμους τῷ τοῦ ἀνδρὸς ἢ τῆς γυναικὸς ἀνεχομένου σεμνύνειν ὀνόματι, σαφέστερον ἄλλο μαρτύριον ἐρευνώμενος, ἐκείνου προδήλου καὶ παιδὶ καθεστῶτος ὡς τῷ γε ἀναξίῳ καὶ τὸ εἶναι ὅπερ ἂν ἄξιος φιλεῖ πάντως παρέπεσθαι, καὶ ᾧ γε τοῦ κρείττονος ὀλισθήσαντι τοῦ γάμου καὶ σεμνοτάτου οὐδεὶς λόγος μὴ τῷ χείρονι τῆς πορνείας ἐνσχεθῆναι καὶ πράγματι καὶ ὀνόματι. οὐδὲν γὰρ οὐδὲν μεταξὺ γάμου τε καὶ πορνείας ὄνομα ᾧ συνάφειαν ἀνδρὸς

13 cf. Gal. 2, 18 || 17–18 Aristot., Top. I 10, 105a3–7 || 23–25 Bas., Ep. 188, can. 4, PG 32, 673A9–11 || 26 cf. Plat., Symp. 204b1

21 ἡμῖν Wk: ὑμῖν V || 27 ἂν ἄξιος Wk: ἀνάξιος V

πρὸς γυναῖκα μετακαλέσομεν. σὺ δὲ τῷ μὴ προχείρως προσκεῖσθαι τῷ περὶ τούτου λόγῳ ὃν τρόπον ἡ θεραπεία προβαίη, ἀνάγωγον διὰ τοῦτο πρὸς σωτηρίαν παρασκευάσαις τὸν κάμνοντα; ἀλλ' οὐκ ἂν πείσῃς κἂν πάνυ διαρραγείης· ἀλλὰ λημώντων, βέλτιστε, καὶ παρακοπτόντων τὸ πάθος, οἳ καὶ τὸ παρὰ πόδας ἀγνοοῦσι χρυσίον ὅτι μὴ κόλπῳ τοῦτο μηδὲ χερσὶ φέρουσι, καὶ οὐκ ἀνδρὸς ᾧ τὰ τῆς πολιτείας ἀποσαλεύειν πεπίστευται, καὶ διὰ τοῦτο Ἄργον πανόπτην αὐτὸν τὸν τοῦ μύθου εἰ οἷόν τε δεῖν γίνεσθαι, ὥστε μηδέ τι τῶν φαυλοτάτων λανθάνειν καὶ ὃ μεγάλην κατὰ καιρὸν τὴν βλάβην παρέξεται.

Ἐμοὶ δὲ δοκεῖν εἰ φιλαυτίας ἀπαλλαγείημεν καὶ ἀπαθῶς ἐπιβάλοιμεν τοῖς λεγομένοις, ἀδεκάστῳ κριτῇ τῷ ἑαυτῶν χρώμενοι συνειδότι, οὐδὲ πολλοῦ δεήσει τοῖς πόρρωθεν θηρᾶν τὸ ποθούμενον, ἀλλὰ κἀντεῦθεν κατίδοιμεν τάχιστα ὅπερ ἀπέγνωμεν, πολλὰ τῆς ῥαθυμίας ἑαυτοῖς 146r *προσμεμψάμενοι· τὸ γάρ τοι σεσιωπῆσθαι | τὸ προκείμενον τοῖς πατράσι καὶ τὸ δοκεῖν μετ' αἰτίας τῷ θείῳ ἀνδρὶ εὔλογον τοῖς κανόσιν αὐτοὺς ὑποβάλλειν καὶ προσέτι προεγνωσμένῳ τινὶ παραπέμπειν (ὃ τῷ 'δῆλον ὅτι' ἠνίξατο), τί ἂν ἄλλο ἢ τῷ ζητουμένῳ ταῦτα εὐθυβόλως ἐφίστησι; σεσίγηται γάρ, ὅσον ἐμὲ εἰδέναι, τὰ μήτε γάμου ἀρχὴν εἰσηγούμενα μηθ' ὅσα γε τἀνθρώπινα ἐξαμαρτανόμενα, ἐπεὶ καὶ πατροκτονία τῷ Ἐξηκεστίδου Σόλωνι, ὑποβέβληται δὲ κατὰ τὸ εὔλογον τοῖς κανόσιν ἤδη τοῦ κακοῦ τῷ Χριστοῦ κλήρῳ ἐπηρεάζοντος, ὡς ἂν μὴ τῷ ἀφέτῳ δεσμοῦ καὶ ἀνέτῳ κινούμενα πλημμελῶς τῷ τε μηδὲν ἀπεσκευάσθαι τοῦ πονηροῦ ἄχθους ἀκάθαρτα διὰ βίου περιορῷτο, τῷ μιαρῷ συντηκόμενα καὶ τῷ χείρονι πορνείας μιάσματι ἐνεχόμενα. ἢ τίνι γε ἄλλῳ προσνείμοις τὸ 'εὔλογον', εἴπερ τὸ ἀθεράπευτον τοῦ θεραπευομένου*

17–21 Bas., Ep. 217, can. 80, PG 32, 805A14–B5 || **22–24** Diog. Laert. 1, 59

2 *τούτου* Ld: *-ω* **V** || **13** *ἐπιβάλοιμεν* Wk: *-οιεν* **V** || **30** *μιάσματι* Wk: *-τα* **V**

χεῖρον γινώσκεται; καὶ τί τὸ σμῆχον; οὐχ ὃ τοὺς ἐκπτώτους περικαθαίρει τοῦ γάμου (τοῦτο μὲν γὰρ οἱ κατὰ Νεοκαισάρειαν πατέρες ἀφώρισαν), ἀλλ' ὃ καὶ τοὺς κατὰ τὸ ἀκόλαστον ἀσελγαίνοντας, ὃ τῆς Βασιλείου φιλανθρωπίας τεκμήριον. καὶ ὅτι τοῦτο, τῷ ‘ δῆλον ὅτι’ καθίστησιν ἐναργὲς τοῖς μὴ κατ' Ἰουδαίους βύειν εἰδόσι τὰ ὦτα καὶ πρὸς τὸ φῶς τῆς ἀληθείας ἀπειθῶς καταμύουσιν. εἰ μὲν οὖν ἐχομένους καλὸν ὑμῖν καταφαίνεται τοὺς πόρνους τῆς ἑαυτῶν βδελυρίας τῇ μετανοίᾳ προσάγεσθαι, δεδόσθω καὶ τούτοις· εἰ δ' οὐ κἀκεῖνο, κἂν εἰ μὴ γέγραπται (καίπερ ὑμῖν εἰωθὸς τῷ ἀγράφῳ κατοχυροῦσθαι καὶ ἰσχυρίζεσθαι), πῶς τοῦτο ὑμεῖς, οἷς τὰ χείλη παρ' ἑαυτοῖς, ὑπ' οὐδενὸς τῶν κρειττόνων κυριευόμενοι τὸ ἐπελθὸν φθέγξασθαι; ἐμοὶ γὰρ οὔ γε σχολὴ πρὸς τὴν ἐνάργειαν ἀπομάχεσθαι.

Ἀλλοτριούσθωσαν τοιγαροῦν, ὦ σοφώτατοι, καθ' ἡμᾶς ἐπιγνώμονας, ὅτι καὶ ἰδιώτου κρεῖττον ῥήτωρ τοῖς καθ' ἑαυτὸν χρήσαιτο, καὶ ψυχικοῦ ἀνδρὸς ὁ τοῦ πνεύματος. οὐδὲ γὰρ ἐατέον, κατὰ Παῦλον εἰπεῖν τὸν μέγαν διδάσκαλον, ῥίζαν πικρίας ἄνω φύουσαν ἀκαθαίρετον, ἣ καὶ τοὺς παρόντας οὐ τῷ τυχόντι μιάνοι καὶ τῷ ἑξῆς βίῳ μεγάλην κακίας παράκλησιν ἐπιδείξεται. οὐχ οὕτως σοφὸς σὺ τὰ θεῖά τε καὶ τὰ ἀνθρώπινα ὡς ἐκ προστάγματος αἱρήσειν ἡμᾶς μόνῳ τῷ βούλεσθαι συνεργῷ χρώμενος. οὐδὲ γὰρ ἔτι τὸ ‘ πλέον πορνείας’ ἁμάρτημα τῇ κεκολασμένῃ πορνείᾳ συναριθμηθήσεται, πλείστης ὅσης κἂν τούτῳ συγγνώμης τυχόν, εἰ μὴ τῷ βάρει ἀντίρροπον, φειδοῖ | δὲ τῇ 146v *παρ' ἀξίαν ⟨ἡ⟩ παιδεία κατάγχεται.*

Οὐδὲ τὸ ‘ τὰ τοιαῦτα’ ἐξούλης γραφῆς ὑμᾶς ἀθῳώσεται, ἔστ' ἂν κάλλους ὁρῶμεν ἰδέαν τῷ μοναδικῷ τῆς ἐννοίας τὸ κατὰ πλῆθος τῆς ἐκφορᾶς συναρμόζουσαν καὶ τὸν σοφὸν

2–3 Can. Neocaes. 3 (Lauchert p. 35, 13–15) || **6** cf. Act. 7, 57 || **12–13** Ps. 11, 5 || **17** 1Cor. 2, 14 || **18–19** Heb. 12, 15 || **24** Bas., Ep. 217, can. 80, PG 32, 805B1–2 || **28** Ep. 199, can. 50, PG 32, 732C4

15 $\overset{η}{ὑ}$*μᾶς* V || **16** *κρεῖττον* Wk: *κρείττων* V || **27** *ἡ* add. Wk

καὶ μέγαν Βασίλειον ἀποχρῶντα τὰ οἰκεῖα κρατύνασθαι. οὐδὲν γὰρ οἷον αὐτοῦ ἀκούειν· ὃς ἐν προοιμίοις τῆς κατὰ ταῦτα δευτέρας ἐπιστολῆς οὕτω πρὸς Ἀμφιλόχιον γράφει, τὸν χρόνον ἴσως τῆς σιωπῆς αἰτιώμενον, ‘ ὀλίγοι γὰρ παρ' ἡμῖν καὶ ὁδοῦ ἔμπειροι καὶ παρεσκευασμένοι πρὸς τὰς τοιαύτας ὑπηρεσίας’. εἰ γάρ τι δυνάμενον ἐνορῷτο καὶ ἐπ' ἄλλων τινῶν μεταληφθῆναι τῇ μιᾷ καὶ αὐτῇ τῶν τὰς ἐπιστολὰς διαγόντων ὑπηρεσίᾳ, τῆς ὑμετέρας τερθρείας, σοφώτατοι, ἀναπτύξαι.

Ἀλλὰ γὰρ τί τις καὶ δρῴη λαὸν ἀπειθοῦντα καὶ ἀντιλέγοντα τῇ πίστει; καὶ τῷ συνιέναι παρομαρτεῖ καὶ τῷ διελέσθαι ὀρθῶς τὸ προενεγκεῖν λογισμὸν ἀνεπίληπτον· τῷ δὲ ῥαθύμῳ καὶ ἐθελοκωφοῦντι οὐδὲν ἴαμα. καίτοι καὶ εἰ μηδεὶς λόγος τῷ ἀντιλέγοντι ἢ καὶ εἰ πρὸς ἀγχώμαλον προὔβαινε τὰ τῆς μάχης, οὐδ' οὕτως ἔδει τῇ χείρονι δόξῃ προστιθεμένους αἰσχύνειν μὲν ἑαυτούς, τὴν πολιτείαν δὲ μυρίας βδελυρίας ἀναπιμπλάναι, τοιοῦτον τῇ θρεψαμένῃ καὶ μέχρι τοσούτου προαγαγούσῃ τὸ γηρωκόμιον ἀποτίνοντας. χρῆναι γὰρ οἶμαι, ἐν οἷς λόγων ἰσοσθενία, τὸ κρεῖττον τῷ ἀκαταγνωστοτέρῳ βραβεύεσθαι· εἰ δὲ καὶ πολλῷ τῷ περιόντι τῇ ἀληθείᾳ τὸ τρόπαιον ἐξανίσταται, ὑμῖν καταλείπομεν σοφοῖς τὸ ἐντεῦθεν κριταῖς, εἰ μὴ κἀνταῦθα ταῖς ἐναντίαις ῥοπαῖς μεταρρεῖτε καὶ ἐπικλίνεσθε. αἰδέσθητε, εἰ καὶ μὴ τὴν πρὸ ὑμῶν ἀνακάθαρσιν τῆς πολιτικῆς θεσμοθεσίας, ἀλλ' οὖν αὐτὸ τοῦτο τὸ ὑμέτερον ἔργον καὶ τὰς κατ' ἐκεῖνο περὶ τῶν προκειμένων γενναίας ἀποφάσεις καὶ σώφρονας. ἀλλ' ἐκεῖ μὲν ἀγαθοὶ καὶ τῷ τοῖς πατράσιν ἀκολουθεῖν σεμνοὶ καὶ φιλότιμοι, ἐνταῦθα δὲ τῶν πρὶν ἐπιλελησμένοι κακοὶ καὶ τοῖς τῶν πατέρων κατὰ τῶν πατέρων ἐπ' ἀνατροπῇ τῆς καθαρᾶς πολιτείας κεχρῆσθαι γινώσκοντες, τῇ χρείᾳ πάντως τό τε φιλοσοφεῖν ἁρμοζό-

2–6 Ep. 199, PG 716C6–8 || **11–12** cf. Gen. 4, 7 || **24–25** Rhalles-Potles 5, 253 || **25–27** Leonis VI Nov. 90 (PG 107, 604A–C)

1 *κρατύνασθαι*] *-ασ-* ex corr. **V** || **11** *τῷ*[1] Wk: *τὸ* **V** || **15** *ἔδει* Wk: *ἔχει* **V** || **29** *τοῖς* Ld: *τῆς* **V**

μενοι καὶ τὸ βέβαιον καὶ πιστὸν οὐδαμόθεν ἑαυτοῖς διοικούμενοι, ἀλλὰ κἀντεῦθεν κόνις τοῖς ἄλλοις ῥᾳδίως τοῖς προστυχοῦσι μεταβαλλομένη δεικνύμενοι, ἃ μὲν ἐνεγράφητε καιρῷ καὶ περιστάσει μετακινούμενοί τε καὶ συγχεόμενοι, ἐκεῖνα δὲ πάλιν μεταγραφόμενοι ὅσα καὶ τοῖς προτέροις ἀνατίθεται καὶ ὑμῖν μείζω τὴν αἰσχύνην περιποιούμενα ὡς οὐχ ἑστώσῃ κρίσει τὴν γνώμην ἐρείδουσι, τύχης δὲ μείζονος ἐφέσει σκοτοδινιῶντες τὸν νοῦν, ἣ πάντα ῥᾳδίως παίζειν ἐπίσταται, κύβων φασὶ καὶ ἀστραγάλων | μετάπτωσιν τὰ ἡμέτερα ἀποφαίνουσα, ἄλλην Ἀντιφῶντος 147r *τοῦ Ῥαμνουσίου τετραλογίαν τοὺς νόμους ἐργάζεσθε, τὸ σεμνὸν τῆς πολιτείας καὶ ἀμετάθετον αἰσχρῶς ὅτι μάλιστα καὶ ὀλεθρίως σαλεύοντες. καίτοι γε κἀκεῖνο συνιδόντας, ὡς ἡ μὲν τοῦ καλοῦ φύσις σώφρονι λόγῳ κρατυνομένη καὶ ἐκ μυρίας τῆς ἀποφάσεως προϊοῦσα, ἐπεὶ καὶ πλατεῖα ἡ τοῦ θεοῦ ἐντολή, τὸ τοῦ ψάλλοντος, πρὸς ἕν τι πέρας τὸ ἐξ ἀμείνονος συντελείας καὶ μίαν κορυφὴν ἀνατείνεσθαι, ἣν δὴ καὶ Σολομὼν αἰνιττόμενος εἰς μίαν περιστεράν τὸ τοῦ ᾄσματος κάλλος ὑπελιγήνατο, τὸ δὲ κακὸν ἀστάθμητον καὶ ἀπέραντον τῷ αὐτονόμῳ τῆς ἀλογίας ὡς ἀπὸ μιᾶς τῆς ἀρχῆς πρὸς πολυσχιδές τι καὶ ἀόριστον αἶσχος χεόμενον, καὶ δεῖν τὸν ἀγαθὸν ἄνδρα τὸ μὲν ἀεὶ τῇ τοῦ κρείττονος ἀνευρύνειν φιλοπονίᾳ μηδὲν ὑπερόριον ἐννοούμενον, τοῦ δὲ τὸ ἄπειρον ὑποτέμνεσθαι, ἐχρῆν καὶ αὐτοὺς ἀγαθοὺς χρηματίζοντας πολίτας μὴ τὴν φύσιν ὑβρίζειν, μὴ τὴν πολιτείαν ἀλάστορι γνώμῃ δολοῦν νόθοις καὶ κιβδήλοις ἐπιχειρήμασιν, ἀλλὰ τῶν καθ' ἑαυτοὺς γινομένους πάσῃ προθυμίᾳ ὅσῃ δυνατῇ τὸ μὲν τῆς σωφροσύνης πλειστηριάζειν ἐφόδιον, εἴ τι δ' ἀκρασίας ἐχόμενον μειοῦν κατεπείγεσθαι καὶ πρὸς ἀνυπαρξίαν εἰ οἷόν τε χωρεῖν ἐκβιάζεσθαι. ἀλλ' ἵνα πάντα ἀφεὶς τοὺς φαυλισμοὺς ὑπολογίσωμαι καὶ τὰ αἴσχη οἷς ὑποβέβληται μὲν ταῦτα, ὑμεῖς*

10–11 Antiphon, Orr. 2–4 || **15–16** Ps. 118, 96 || **18–19** Cant. 6, 9

17 *ἀμείνονος* Wk: *ἀμύμονος* Ld: *ἀμύνονος* **V**

δ' οἱ φιλεῖν βασιλέα διαρρηγνύμενοι οὐ καταδύετέ ποι γῆς, ἀλλ' ἔτι ζῆν ἀνέχεσθε ταύτας χάριτας δεσπότῃ τιννύντες καὶ φίλῳ, θεῖόν τε καὶ ἀνύβριστον τοσούτῳ συρφετῷ ταῖς συμβουλαῖς ὑμῶν χραίνοντες κράτος καὶ νοῦν αὐτοκράτορα τῶν ἀφροδισίων ἀκράτορα παρασκευάζοντες ἐρεθισμάτων, οὐκ ἔχω τίς γένωμαι οὐδ' ὅ τι καὶ χρήσομαι ἐμαυτῷ τοιούτοις ἀνδράσι συζῶν καὶ συναριθμούμενος. ἀλλὰ θεὲ τῶν ὅλων καὶ κύριε τοῦ ἐλέους, ὃς ζῷον κοινωνικὸν ἔπλασας ἄνθρωπον τὸ τῆς φύσεως ἐνδεὲς τῇ παρ' ἀλλήλων εὐπορίᾳ ἀναπληροῦσθαι μηχανησάμενος, μή μοι δοίης, οὐχ ὅπως φημὶ φίλῳ, ἀλλὰ μηδὲ κατ' ἐχθρῶν οὕτω διαγενέσθαι καὶ ταῦτα σπουδάζειν αὐτοῖς ἃ πᾶσιν ἐπίσταμαι βδελυκτά τε καὶ ἀποτρόπαια.

Κἀγὼ μὲν οὕτως· εἰ δέ σοι φίλον, φιλανθρωπότατε βασιλεῦ (πάλιν γὰρ πρὸς σὲ τείνω τὸν λόγον), τοῖς τοῦ θεοῦ παραρριπτεῖσθαι σκηνώμασιν, εἶκε τῷ λόγῳ λοιπόν· καὶ τούτων μισήσας τὴν ψυχοβλαβῆ καὶ κατάπτυστον συνηγορίαν, οὓς καὶ μικρῶν ἄν τις εἷλε λημμάτων, μή τί γε δὴ βασιλικῆς ἀρεσκείας καὶ παρρησίας (οὐ σὺ γάρ, ἂν θεῷ καὶ ἡμῖν πείθῃ, σοφώτατε βασιλέων καὶ προμηθέστατε, τούτοις ἕποιο ὁ μέχρι τοῦ δεῦρο βασιλικῶς καὶ 147v *πατρικῶς κατακτησάμενος τὸ ὑπήκοον), καὶ ἡμῶν | ἀγαπήσας τὰ τῆς χρηστῆς συμβουλῆς, ᾗ λόγῳ τοσούτῳ τὸ κράτος ἀνεδήσατο, τῶν μὲν ἐκ μέσου γενοῦ ὡς ἀκαθάρτων καὶ ἀσυμφόρων πρὸς τὴν παραίνεσιν, ἡμῖν δὲ κολλήθητι, μᾶλλον δὲ θεῷ οὗπερ ἡμεῖς, ἐν ᾧ καὶ δι' οὗ σοι ἡ σωτηρία, καὶ ἄνες ἡμῖν ἵνα ἀναψύξωμεν πρὸ τοῦ ἀπελθεῖν ὑμῖν τὰ συμφέροντα ἐπευχόμενοι· καὶ δὴ δεῦρό γε οὕτω καὶ τοῖς θεοῦ σκηνώμασιν ἐναυλίσθητι, τῶν ἐν αὐτοῖς ἀγαθῶν ἐμπιπλάμενος καὶ τῷ χειμάρρῳ τῆς τούτου τρυφῆς ποτι-*

15–16 Ps. 83, 11 || **27** Ps. 38, 14 || **28–29** Ps. 64, 5; cf. 14, 1; 42, 3; 60, 5 || **30**–p. 93,1 Ps. 35, 9

12 *ἃ πᾶσιν* Ld: *ἅπασιν* V || **16** *εἶκε* Ld: *εἴτε* V || **23** *ᾗ* Ld: *ἢ* V

ζόμενός τε καὶ μεθυσκόμενος. ὡς εἰ μὴ τοῦτο, οὐδὲν εὖ ἴσθι τῆς τοῦ θεοῦ προτιμήσομεν ἀγάπης, πάντα δὲ παρ' οὐδὲν λογιούμεθα, σκύβαλα μὲν τὰ κατὰ γῆν τιμιώτατα, νηπίων δὲ βέλη τὰ δεινότατα ἡγησάμενοι.

3 Phil. 3, 8 || **4** Ps. 63, 8

70

Στεφάνῳ ὑπογραφεῖ βασιλέως τῶν ἀπορρήτων φίλῳ ἀνδρί

Litterae ad Stephanum a secretis datae, Samonae et Leonis ipsius auribus destinatae; scriptae Nicolao adhuc patriarcha sub principium a. 907, cum renovaretur crimen impietatis Arethae pridem illatum. Samonam de se questum esse ex litteris Stephani apparere; se vero non durum esse neque obstinatum, sed contra potentiam sibi indulgentem severitate vere evangelica uti. quorsum autem pertinere hanc contumeliam potius quam accusationem ab homine perditissimo prolatam? si ira incensus eam admiserit imperator, at Deo teste pollicitum esse se quicquid constituissent sacerdotes perlaturum. ista remedia ficta et simulata Leonis bonitate et sapientia indigna esse. Basilii sedem occupanti sibi Basilio obloqui fas non esse. si sibi foedus de hac re cum episcopis initum deserenti tantae irae sequantur, quanto maiori irae obnoxium se futurum hoc officium neglegentem? quod ipse Basilium virtute aequare non possit, nihil ad rem. at certe imperatoris ministros simoniae criminis reos esse. iudicio suae conscientiae incorruptae oboediat imperator, amicos istos scelere imbutos ei mederi non posse. sed suam constantiam etiam in electione manifestam factam esse, cum talia futura praesentiret. Basilii denique auctoritatem non impune diminui posse, nec Dionysii sententiam contra eum quicquam valere. nihil nisi honestum sibi cordi fuisse, idque sensurum esse imperatorem cum cupidinis ardor resederit. Xylomachaeris crimina quibus se petant irrita esse.

Μέμφεταί μοι ὁ περιφανέστατος, ὅποι δὴ πυνθάνομαι, πατρίκιος Σαμωνᾶς, καὶ δὴ καὶ αὐτὸς ἀπαγγέλλεις, ἀφίλους ἡμᾶς καὶ ἀχαρίστους ἀποκαλῶν, κἂν μηδεὶς λόγος

70 V – Jk-Ld pp. 322–329

τούτων ἡμῖν, οἷς καὶ τὸν δεξιὸν ὀφθαλμὸν ἐκκόπτειν τῆς εὐσεβείας παράγοντα διατέτακται. ἀλλὰ καινὸν τοῦτο ὑπὸ τὸν ἥλιον ἴσως, ὅτι τῆς ἐξουσίας, ᾗ καὶ τὸ ξενοχαρὲς περισπούδαστον καὶ τὸ φιλόκαινον ἀγαπώμενον καὶ οὔπω εἰς τὴν παροῦσαν ἐγνωσμένον ἀνθρώποις, ὧν αὐτός τίς ἐστιν αἴτιος, ἑτέροις τοὺς ψόγους ἀνατιθέναι καὶ τὸν διδάσκαλον τῷ μαθητῇ μέμφεσθαι ὡς οὐχ ἑτέρως κατ' αὐτὸν δ' ἐκεῖνον διαγενομένῳ ἢ καὶ τῷ φίλῳ τυχὸν ζηλοῦντι τὸν φίλον καὶ ἄλλον ἑαυτὸν ἐπισπεύδοντα τοῦτον δεικνύναι, ᾧ καὶ τὸ εἶναι ἐν τούτῳ ἐστίν, εἴπερ τὸν φίλον ἄλλον αὐτὸν ὁ Σάμιος σοφὸς ἀφωρίσατο. τὸ δὲ καὶ συνέσεως ἐπιμαρτυρία τε καὶ ἐπαίνου ἀλλ' οὐχὶ μέμψεως καὶ διαβολῆς, ὡς αὐτοὶ βούλονται· ἐπεὶ καὶ γραφεὺς καὶ πᾶς τις ἄλλος τῶν περὶ τὰ τοιαῦτα σοφὸς τὸν προεστῶτα μιμούμενος καὶ τῶν ἀρχετύπων καὶ προκειμένων εἰς τὴν τῆς τέχνης ἀνάληψιν τὴν μίμησιν μεταχειριζόμενος, ἐπαίνων οὐ ψόγων ἐπάξιος.

Ἵνα γὰρ τὰ ἄλλα ἀφεὶς θεῖά τε καθεστῶτα καὶ κρείττω ἢ κατὰ ἄνθρωπον, οἷς ὡς ἔοικε φιλῶν με θεὸς πρὸς τὸ εὐθὲς ἐπανήγαγε, δι' ἃ καὶ τὸ σκληρόν τε καὶ αὔθαδες καὶ ἀμείλικτον ἐγκαλοῦμαι· — καίτοι γε οὐ τοιοῦτος τοῖς διὰ πείρας ἐγὼ γνωριζόμενος ἢ ὅσον ἐν τούτοις ἐν οἷς καὶ τὸ ἔμμονον καὶ ἀσάλευτον ἐπαινετὸν καὶ μακάριον καὶ τῶν ἐπὶ κύριον πεποιθότων δεῖγμα καὶ γνώρισμα, | ὡς ὄρος 148r *Σιὼν ἀμεταθέτως ἡδρασμένων τε καὶ παγίως καὶ τῇ τῶν καλῶν κρίσει τὸν πόδα ἐρείδειν εἰδότων ἀκλόνητον, καὶ οὕτως ὡς καὶ μέχρι θανάτου τούτων προκινδυνεύειν σκοπὸν τίθεσθαι, καὶ τὸ ἐκστατικόν τε καὶ εὐπερίτρεπτον καταγέλαστον, λαγὼ βίον, τὸ τοῦ λόγου, τὸ ζῆν ἡμῖν ἐκπορίζον καὶ τοῦ προσδοκωμένου ταρτάρου τοῖς μὴ βεβαίοις τῷ κρείττονι πρόξενον· οἷς γὰρ δέον ἀκλονήτως ἑστάναι τὸν τοῦ θεοῦ φίλον ἐν μηδενὶ τινασσόμενον, ὁ δὲ κάλαμον ἑαυτὸν κατεστήσατο ἀνέμῳ παντὶ μετακλινόμενον καὶ*

1–2 Mt. 5, 29 || **2–3** cf. Eccl. 1, 9 || **10–11** Aristot., Eth. Nic. IX 4, 1166a31–32; Hermias, In Phaedr. 192, 10–11 Couvreur || **21–24** Ps. 124, 1 || **28** cf. Dem. 18, 263; Lucian., Vita 9 || **31–32** Mt. 11, 7

σφαῖραν ἀστάτῳ βάσει κυλιομένην ὁρώμενον, ἀγόμενος μὲν καὶ περιφερόμενος ἐν τῇ κυβείᾳ τῶν ἀνθρώπων, πλανῶν δὲ καὶ πλανώμενος καὶ πονηρῶν δόξαν ἀνθρώπων καὶ γοήτων ἀποφερόμενος· ἀλλ' οὐχ αὕτη μερὶς Ἰακώβ, οὐδ' οὗτος κλῆρος τοῖς υἱοῖς Λευὶ ἐν μέσῳ δοθήσεται τῶν ἑαυτῶν ἀδελφῶν, ὅ τοὺς ἐμούς φησι κατανέμων κλήρους ἐν πνεύματι· — ἵνα γὰρ πάντα καταλιπών, ᾗ καὶ δεδήλωται, ἐπεὶ πολλοῖς δοκῶ, τὸ τοῦ παλαιοῦ Λώτ, γελοιάζειν, τὸν ἐμπρησμὸν Σοδόμων προαγορεύοντος, ἂν μόνον ἑνὸς τούτου τῶν καλῶν φίλων μνησθῶ καὶ ταῖς αὐτῶν μὲν ὁμολογίαις βεβαίων, φιλεγκλημόνων δὲ καὶ μεμψιμοίρων οἷς οὐκ εἰκός, ἐμοὶ μὲν οὐκ ἔστι τόπος λοιπὸς οἷ παραβύσω ἐμαυτόν, 'πάτον ἀνθρώπων' κατὰ τὸν σὸν εἰπεῖν Ὅμηρον 'ἀλεείνων'· αὐτοὶ δ' εἰ οὐκ ἐγκαλύπτονται οἷς ἐπέστησαν πρὸς μίμησιν φέροντες ποιούμενοι ἔγκλημα, τῇ δυναστείᾳ τὴν ἀπόνοιαν λογιστέον, ἣ τῷ τῆς τύχης ὄγκῳ ἐπαιρομένη τε καὶ φλεγμαίνουσα οὐκ ἄγει σχολὴν τοῖς δικαίοις τε καὶ ἀμώμοις ἐμφιλοχωρεῖν καὶ περὶ αὐτὰ κατευθύνεσθαι. εἰ γὰρ καλὸν τὸ τοῖς κεκριμένοις ἐμμένειν (πῶς γὰρ οὔ;) καὶ τοῖς τὸ δέον εἰσηγουμένοις μισθοὺς διαπραγματεύειν ἀξίους, τί οὐκ ἐνέμειναν οὗτοι χάριν εἰδότες τοῖς παρ' ἡμῶν (παρίημι γὰρ τὰ τούτων ἔτι ἀνώτερα καὶ ἃ θεὸς ἐν δίκῃ κρινεῖ); τί μὴ καὶ μισθῷ τετιμήκασι καταλλήλῳ τῆς σοφῆς αὐτοῖς συμβουλῆς καὶ καταθυμίου, ἀλλὰ κακὰ ἀγαθῶν ἀνταποδεδώκασι; δίκαιά γε μόνον ἑνὶ τούτῳ ποιοῦντες (χρῆναι γὰρ οἶμαι τἀληθῆ λέγειν), ὧν ὑμεῖς ἄξιοι, ἐπεὶ καὶ τοιαῦτα πάντως ἐγνώρισαν τὰ τῆς ὑποθέσεως· οὐδὲ γὰρ ἂν τοιούτοις ἐδεξιοῦντο τὸν σύμβουλον, οἷς εἰ μὴ μεθαρμοζόμενοι τοῖς ἐναντίοις τῶν νῦν πραγμάτων συμβαίνοιεν, οὐκ ἔχω τίνα δικαιοτέραν ἄλλην ὁρί-

1–2 Eph. 4, 14 || **2–4** 2Tim. 3, 13 || **4** Ier. 10, 16; 28, 19 || **4–6** cf. Num. 26, 62 || **8–9** Gen. 19, 14 || **13–14** Hom. Z 202 || **25** Ps. 37, 21

7 ᾗ Ld: ἢ V || **9** προαγορεύοντος Wk: προσαγ. V || **13** πάτον Ld: πάντων V || **16** ἣ Ld: ἢ V || **23** τί μὴ Ld: τιμὴ V || **27** ὑμεῖς Wk: ἡμεῖς V

σομαι κατ' αὐτῶν τιμωρίαν ἢ ταύτην ἧς αὐτοὶ τῆς τοιαύτης γνώμης ὑπῆρξαν τοῖς ἀγαθοῖς συμβούλοις παραίτιοι. καὶ τί τοῦτο; τῆς τοῦ θεοῦ φιλανθρωπίας ἐκβολήν τε καὶ ἀλλοτρίωσιν, ὥσπερ ἐκείνοις οὗτοι τῶν αὐτῶν καταγωγίων τὴν στέρησιν. ἀλλὰ τῆς εὐαγγελικῆς | διαγωγῆς 148v *ἀλλότρια ταῦτα; ἀλλὰ Παύλῳ τῷ συνεργῷ τοῦ εὐαγγελίου τοῦτο βουλόμενον, ἀλλὰ καὶ Χριστῷ πάλιν αὐτῷ. ὁ μὲν γὰρ ᾧ κρίματι τὸν ὑπόδικον κρίνομεν ἀποθεσπίζει κριθήσεσθαι, ὁ δὲ τὸν οἷς αὐτός τις πράττει τὸν ἕτερον κατακρίνοντα τοῖς τῶν πονηρῶν θησαυροῖς εἰς τὴν ἐσχάτην ἡμέραν περιπτωτικῶς παραπέμπεται. εἰ δὲ ἑτέρῳ ἀνατιθέασι τὰ τοιαῦτα, οὐδὲν μὲν εἰς ἀπολογίαν οἶμαι τούτῳ σοφὸν παρὰ πάντας αὐτὸν ἐγνωκότι καὶ κρείττονα καὶ γνώμην ἑτέροις ὑποθέσθαι δραστηρίαν, ἀλλ' οὐκ ἐκεῖνον παρ' ἄλλου λαβεῖν, καὶ ὅτι μὴ τῷ Ἀδάμ, μὴ τῇ Εὔᾳ συνήνεγκεν ἀλλήλοις ἐπανατιθεμένοις τὸ τῆς ἀπάτης κακὸν οὐδὲ τῆς καταδίκης ἐξείλετο. εἰ δέ τι δεῖ καὶ ἀκριβέστερον ἐπιβαλεῖν τοῖς προκειμένοις, καὶ πλείονος τυγχάνειν τῆς κατακρίσεως ἔγνωμεν τοὺς τῷ κακῷ συνεργοῦντάς τισι καὶ τούτους συνεπισχύοντας, εἴ τῷ πιστώσασθαι τὸν λόγον οὐκ ἄνθρωπος ἱκανός, ἀλλ' ὃς τὸ κράτος ἁπάσης κτίσεως ἀποφέρεται, θεοῦ υἱὸς καὶ θεός, ὃς τῷ Πιλάτῳ μέγα τῆς εἰς αὐτὸν ὕβρεως τὸ κατάκριμα σωρευόμενον ἐπιστάμενος τὸν παραδιδόντα μείζονι καθυπέβαλεν ἁμαρτίᾳ.*

Ἀλλὰ τὰ μὲν οὕτω ψυχρᾶς καὶ ἀνυποστάτου εἴληχεν ἀπολογίας, ὥσπερ ὁ λόγος ὑπέστησεν. τί δὲ φαῖεν τοῖς ἔναγχος τετολμημένοις, τίνα τ' αὖ πάλιν τῆς ὑπογύου κακώσεως (αἰτιάσεως οὐκ ἔχω εἰπεῖν); τί δὲ καὶ κατεργάσασθαι ταύτῃ σκοπός; αἱρήσειν οὕτως ἡμᾶς; βαβαὶ τῆς

6–7 cf. Rom. 15, 16; 1Cor. 3, 9 || **7–9** Mt. 7, 2 || **9–11** Rom. 2, 1–5 || **15–17** Gen. 3, 12–13 || **22–25** Io. 19, 11

5 *εὐαγγελικῆς*] *εὐ-* s. l. add. **V** || **13** *αὑτὸν* Wk: *αὐτὸν* **V** || **20** scr. *εἴ τῳ?* || **27** *τί*] fort. *τίνα* (scil. *ἀπολογίαν*) | fort. *τῆς . . . τετολμημένης* || **28** *τ' αὖ* Wk: *ταῦτα* **V**

εὐκολίας· δείλαιος τῆς προσδοκίας καὶ ἔκπτωτος, αὐτὸς αὐτῷ τὸ ἀνήνυτον διοικούμενος, εἰ στιγματίᾳ καὶ καταδίκῳ καὶ ἀνδραπόδῳ καὶ τοιούτων ἀξίῳ τὴν ἑαυτοῦ ἀπολύτρωσιν ἐσπούδακε πραγματεύσασθαι. εἰ δ' οὐκ ἀξίῳ μέν, θυμὸς δὲ πρὸς τοῦτο παρέθηξε, τίς λόγος ἡμῖν θυμῷ καὶ ἐπιθυμίᾳ δουλεύοντος καὶ πᾶν ὃ ἐπὶ νοῦν ἴοι ὀρθὸν λογιζομένου καὶ οὐδ' ἂν κρειττόνως θεῷ ἐννοούμενον καὶ οὕτω τιμᾶν θεοῦ ἱερέας εἰδότος, ὧν ὑποίσειν ἀρχόμενος τοῦ κακοῦ τὴν καταδίκην, ἥτις ποτ' ἂν ᾖ, ὑπὸ θεῷ μάρτυρι διετείνατο; καὶ εἰ ἐκ προστάγματος καὶ βίας τοῦτο λαβεῖν ἤλπικεν ὃ μόλις πολλοῖς στεναγμοῖς τε καὶ δάκρυσιν ἔρχεται καὶ ἐπειδὰν ἀποτρίψηται τὸ ἄγος, ἀλλ' οὐ συζῶντος τούτῳ καὶ προσκολλώμενος· εἰ δὲ βίᾳ, τί μὴ καὶ θεῷ οὕτω προσφερόμεθα, ʽ ἀπόστα ἀπ' ἐμοῦ' φάσκοντες, ʽ ὁδούς γάρ σου εἰδέναι οὐδ' ὅλως βουλόμεθα', ὃ τοῖς πάλαι ἀπεγνωσμένοις τεθρύλληται; ἢ φαινομένην ἀλλ' οὐκ οὖσαν τὴν τοῦ δεινοῦ λύσιν ἐπιζητοῦμεν, καὶ ἐπιπόλαιον οὐδὲ τοῦ βάθους ἁπτομένην ἀλλ' ἔξωθεν ἐπιχρωννυμένην, αὐτῷ τῷ πράγματι ἐοικυῖαν πορνικῶν τρόπον ὑπογραφῶν τε καὶ ἐντριμμάτων καὶ τοὺς πολλοὺς συναρπάζουσαν; ἀλλ' οὐ σοφὸν τοῦτο οὐδὲ Λέοντος τοῦ πάνυ, εἰ μή γε λημῶ, οὗ πολὺ 149r *μὲν τέως τὸ περὶ τὸ θεῖον καὶ τοὺς αὐτοῦ θερά|ποντας εὐλαβές, ἀμύθητος δ' ἡ πρὸς τὸ ὑπήκοον χρηστότης καὶ γνῶσις τὰ βάθη τῆς γραφῆς ἐρευνωμένη, βουλῆς τε θεοῦ καλλυνομένου· οὔκουν ἐκείνου τὰ νῦν, ἀλλὰ καθ' ἑαυτοῦ παίζοντος. εἰ γάρ τι καὶ συγγνωστέον, ἀλλὰ μήποτε τοσοῦτον μανείημεν ὡς τῶν τε νόμων ἐπιλαθέσθαι κυρίου καὶ ἀνθρωπίνοις εἶξαι προστάγμασι. πῶς ὁ ζητῶν (εἰρήσεται γάρ) εὑρήσει τὸ καταθύμιον, οὐ θεραπείᾳ τοῦ κρείττονος μεταδιώκων τὸ σύγγνωστον (ποῦ γὰρ ἡ δι' ἐξαγορεύσεως ἐπαινουμένη ταπείνωσις;) ἀλλ' ἐξουσίᾳ τοῦ κρά-*

14–15 Iob 21, 14 || **24** cf. 1Cor. 2, 10 || **28–29** Mt. 7, 8

2 *αὐτῷ* Ld: *αὐτῶ* V || 12 *συζῶντος*] *συζῶν* Ld

τους ὀργῶσαν ἔτι τὴν νόσον ἱστᾶν παρακελευόμενος, οὔτε κυρίου τὸν τῆς σωτηρίας οἶκον οἰκοδομοῦντος, οὐκ ἐπὶ πέτρας τῶν θεμελίων καταβαλλομένων, ψάμμῳ δ' ἐρειδομένων καὶ πηγνυμένων, ἀνέμοις καὶ λαίλαπι εὐχερῶς κατασύρεσθαι; εἰ δὲ καὶ διακένῳ συγγνώμῃ σπουδὴ τὸ ἁμάρτημα ἐξαλείφειν, τὸ μὲν ἔργον ἴσως προβήσεται ὅσον τοῖς πολλοῖς δόξαι, θεὸς δὲ οὐ παραλογισθήσεται, ἀλλ' ἑαυτοὺς ἐπισφαλῶς παίξομεν· παραμενεῖ γὰρ πάντως τὰ στίγματα τῇ ψυχῇ εἰς τὸ πολλὰς δαρῆναι πρὸς ἔλεγχον συντηρούμενα. οὐδὲ γὰρ θησαυρῷ τις ἀμόχθως ἄν ποτε, βέλτιστε, περιτύχοι, οὐ τὸ ἱμάτιον ἀπαλλάξει τῶν σπίλων μὴ πολλὰ πρὸς τὴν ἔκπλυσιν πραγματευσάμενος πρότερον καὶ τὸν καθαίρειν οἷόν τε τιμῇ προσλαβόμενος. τί γάρ φησιν ὁ ἐν γεννητοῖς γυναικῶν ὑπὲρ ἅπαντας; 'ποιήσατε καρποὺς ἀξίους τῆς μετανοίας'.

Τί δαὶ καὶ τῆς τοῦ ὀρθοῦ λόγου μεταστήσει γνώμης; τίς χεὶρ βαρεῖα σαλεύει με ταύτης; οὐχ οὕτω τι φρικτόν, οὐχ οὕτω φαιδρὸν ὃ τῆς τοῦ κυρίου μου προτιμήσω ἀγάπης, οὐδὲ τὴν τοῦ κόσμου φιλίαν ἔχειν τι πλέον καταφρυάττεσθαι ταύτης ἐμήν γε γνώμην ἐάσω ὡς οὐ τοσοῦτον θεοῦ φίλτρον ὅσον αὐτὴ δύναται διαθεῖναι φόβῳ θορυβοῦσα καὶ ἡδονῇ κλέπτουσα, μικροῖς καὶ ἐφημέροις, τῶν αἰωνίων καὶ ἀνεκλείπτων ἐξαπατῶσά τε καὶ παράγουσα, καὶ ταῦτα ἐπὶ γήρως οὐδῷ βεβηκώς, ὁπηνίκα καὶ τῷ ἐκεῖ κριτηρίῳ ἀπασχολεῖν τὴν διάνοιαν κράτιστον καὶ τοὺς μισθοὺς κατὰ πόδας τῶν βεβιωμένων προσδέχεσθαι· ὅπου γε καὶ εἰ μὴ τοῦτο, προσῆκε γοῦν ἀμετάθετον εἶναι τοῦ κρείττονος τοῦτον ἐκεῖνον ὃν καὶ λόγος ἀργὸς καὶ ἐγκατάλειμμα ἐνθυμίου ὑπόδικον πυρὸς καταστήσεται καὶ λύσις ἐντολῆς ἐλαχίστης μεγίστου ζημιώματος αἰτιάσεται, μὴ ὅτι γε ταῦτα ὧν οὐχ ἕτερός τις ἢ Βασίλειος δὲ θεσμο-

1–2 Ps. 126, 1 || **2–5** Mt. 7, 24–27 || **9** Lc. 12, 47 || **13–14** Mt. 11, 11 || **14–15** Mt. 3, 8; Lc. 3, 8 || **17** Ps. 35, 12 || **24** Hom. *X* 60 || **27–29** Mt. 12, 36 || **29–30** Mt. 5, 19

5 *συγγνώμῃ σπουδὴ* Wk: *συγγνώμη σπουδῇ* V || **31** *ἢ* del.?

θέτης, οὗτος οὗ καὶ τῆς ἱερᾶς καθέδρας ἠξίωμαι. πῶς οὖν ἀντιφθέγξομαι, οὐ λόγῳ, πράγματι δέ, τῷ σοφῷ καθηγήτορι; εἰ γὰρ αὐτοὶ χαλεπῶς φέρετε, ἄνθρωποι μηδὲν εἰς φύσιν ἡμῶν ἔχοντες πλέον, ὅτι τὰς πρὸς ὑμᾶς ὁμολογίας διέφθειρα, καίτοι αὐτοί με πρότερον ἐπὶ τοῦτο παιδοτριβήσαντες, τί ἂν ἐρῇ κύριος, καὶ τίνας ἀπαιτήσει δίκας Βασίλειος ὑπ' αὐτῷ τούτῳ δικαίῳ κριτῇ, φιλίᾳ καὶ χάριτι ἀνθρωπίνῃ τῆς τῶν δοθέντων εἰς τήρησιν θεσμῶν φυλακῆς ἀμελήσαντα;

'Αλλ' οὐ κατὰ Βασίλειον ἐμοὶ τὰ τῆς ἀρετῆς; ἀλλὰ καλὸς
149ᵛ ὁ νόμος καὶ τηρητέος, οἷόν ποτ' ἂν ἔξει τὸν | κήρυκα, ὅτι καὶ δῶρον οὐκ ἀτιμάσομεν πολυτελές τε καὶ κάλλιστον τῇ τοῦ διακονουμένου σικχαίνοντες αἰσχρότητι. τί γάρ; διὰ τοῦτο καὶ τῶν ἱερῶν ἀποστόλων παρὰ φαῦλον ἂν ἡγοῖο τὸ κήρυγμα ὅτι μὴ κατὰ τὸν διδάσκαλον θεῖοι καὶ οὗτοι, ἀλλὰ λῃσταὶ καὶ τελῶναι καὶ ἁλιεῖς καὶ ἀγράμματοι καὶ πάντων ἀνθρώπων, εἴ γε Παύλῳ πιστέον, εἰς ἁμαρτίαν πλεονεκτοῦντες καὶ περικάθαρμα καὶ περίψημα; ἀλλ' οὐ τῷ βίῳ τῶν διδασκάλων καὶ τὸ χρηστὸν μάθημα ἐκπτυσθήσεται. τὸ μὲν γὰρ προφάσεις πλουτούντων ἐν ἁμαρτίαις, θεοῦ δ' αὕτη φωνὴ ἡ λέγουσα 'ἃ λέγουσιν ὑμῖν οἱ ἱερεῖς ποιεῖν ποιεῖτε' καὶ τὰ ἑξῆς· ἀλλὰ τὸ μὲν δράσει πᾶν ὅ τι βούλοιτο τὸν μανθάνοντα, αὐτὸς δὲ τῷ τελευταίῳ ταμιευθήσεται κριτηρίῳ, ᾗπερ Παύλῳ δοκεῖ, ἢ πυρπολούμενος μετὰ τῶν ἔργων καὶ ζημιούμενος ἢ καὶ μισθὸν λαμβάνων τῆς ἱερᾶς κακοπαθείας ἀντίδοσιν. οὔκουν κρινεῖς τὸν διδάσκαλον νῦν, οὐ πρότερον τοῦτο ποιῶν, ὅτε καὶ ὑγιὴς καὶ διαβλέπειν σοι ταῦτα ἀλυμάντως ἐξῆν μηδὲν ὕποπτον ἐκ προπαθείας ἐκφέροντι, ὅτι μηδ' ἐπὶ τοῖς νοσοῦσιν ὁ ἰατρὸς μηδ' ἐπὶ τοῖς θηρίοις ὁ τῶν θρεμμάτων φύλαξ μηδ' ἀρεσκόμενος· οὐδὲ γὰρ οὐδὲ κύνα τις ἐπιστήσει τῇ ποίμνῃ καλὸν καὶ γενναῖον τοῖς λύκοις ἰδεῖν, ἂν μὴ τῷ κεκτημένῳ

3–5 cf. infra p. 107, **1–5** || **16** Act. 4, 13 || **17–18** 1Tim. 1, 15 || **18** 1Cor. 4, 13 || **21–22** Mt. 23, 3 || **23–26** 1Cor. 3, 14–15

τοῦ ποιμνίου προκινδυνεύων φανῇ καὶ ὑλακῇ τῆς ἀσφαλείας τὸ νόθον τε καὶ μὴ διακρίνῃ τῶν ἐπιβούλων ἁπτόμενος, ἀλλ' ἐκεῖνον ὃς εἰ καὶ αἰσχρὸς τὸ φαινόμενον καὶ γνώμην ἐκείνου φαυλότερος, εἰδὼς δέ γε τὴν μάνδραν ἀκριβῶς περιέρχεσθαι καὶ τοὺς θῆρας ἀμύνεσθαι. ἀλλ' ἴσως ἐγὼ τοιοῦτος οἷον ὑπειλῆφθαι βούλει καὶ φής· τί δαί σοι οἱ συμπνέοντες, οἱ καλοὶ καὶ μεγάλοι καὶ πλούτῳ καὶ τρυφῇ διαρρέοντες, οἱ τὰς τῆς βασιλείας ὑμῶν ὀλίγου δεῖν ἀξιώσεις κενώσαντες καὶ τούτων τὸ τῆς ἐκκλησίας σεμνὸν αἰσχρῶς ἄγαν καὶ ἐπιβούλως ἐμπορευσάμενοι καὶ πρὸς τὴν Σίμωνος δωροδοκίαν ἑαυτοὺς ἐξωσάμενοι, καὶ ταύτῃ γε δὴ οἰκονομοῦντες μέν, ἀλλ' ἑαυτούς, τῆς τοῦ κυρίου καταφρονήσαντας διδασκαλίας καὶ τῆς τοῦ θυσιαστηρίου αὐτοῦ ὀλιγωρήσαντας ἁγιότητος; ἐξ ὧν τί δή; εἰς τὴν τῶν λαϊκῶν τε καὶ ἐθνικῶν ἀπερρῖφθαι δοξομανίαν καὶ τάξιν, μισθὸν τοῦτον ὑπερφυῆ τῆς ἑαυτῶν οἰκονομίας ἔρωτι κοσμικῆς δόξης λαμβάνοντας.

Εἴσελθε εἰς τὸ ταμεῖον τῆς ψυχῆς, προκάθισον τὸν ἀνόθευτον δικαστήν, τὸ συνειδὸς αὐτὸ λέγω. τίνα περὶ τούτων, οὐχ ὑπόληψίν φημι, πληροφορίαν δὲ φέρεις, ἧς πολλάκις κἀμοὶ κεκοινώνηκας λόγῳ, τῶν Νικώνων, τῶν Πέτρων, τῶν Σαβῶν, τῶν ἄλλων οἳ ταῖς σειραῖς τῶν ἑαυτῶν ἁμαρτημάτων σφιγγόμενοι τὸν καλόν σοι τοῦτον συνεκρότησαν χορόν τε καὶ ἔρανον (οὐδέπω γὰρ ἐκεῖνό φημι, ὡς καὶ γνώμης τῶν μετὰ χεῖρα χρηστῆς ἁμαρτάνοντες· οὐδὲ γὰρ Ἄννας, | οὐ Καϊάφας τὸν Χριστὸν ἀτιμάζοντες); εἶτα διὰ 150r *τοιούτων ἕλκεις ἀπὸ κυρίου τὸν ἔλεον; ἀπὸ τούτων θερίζεις τὸ τῆς μετανοίας γεώργιον; ἐκ τούτων ἐπισπᾷ τῶν κατεγνωσμένων τὸ σύγγνωστον; ἀπὸ νεκρῶν ἐξανίστασαι; ἀπὸ βρυόντων σαπροῖς ἕλκεσι θεραπείαν ἐλπίζεις τοῦ τραύματος; ἀλλὰ τυφλοί, τὸ παροιμιῶδες, τυφλούς. ἢ πάλιν τὸν τοῦ κυρίου ὑπαναγνώσῃ θεσμόν, καὶ εἰ περι-*

10–11 Act. 8, 18–24 || **22–23** Prov. 5, 22 || **25–26** Io. 18, 12–24; 11, 49–52 || **31** Mt. 15, 14 || **32**–p. 102,2 Mt. 23, 3

22 *Σαβῶν* Laurent: *σαυῶν* V

τροπῆς ἐλέγχῳ ἁλίσκοιο μηδὲν εὐλαβούμενος, οὐχὶ τοῖς ἔργοις τῶν ἱερέων τῷ λόγῳ δὲ παρεγγυῶντα πείθεσθαι; καὶ πῶς πρὸς μὲν τοὺς τὰ κρείττω διδάσκοντας οὐ τούτων ἦσθα μνημονικός, ἀλλὰ τότε πρὸς θάτερον ἐθελοκωφῶν τῷ βίῳ, συκοφαντῶν τοὺς καθαίροντας καὶ τὴν ἰατρείαν ἀπεσκοράκιζες, νῦν δ' οὕτως ὀξὺς ἀναπέφηνας καὶ εὐμαθὴς τῷ λοιπῷ καὶ τῶν ἐκ μηχανῆς, φασί, σχεδιώτερος; εἰ δὲ κἀμὲ τοῖς αὐτοῖς βιάσῃ βρόχοις ἁλίσκεσθαι, ἐγὼ μὲν καὶ τούτων ὑμῶν ἐπιεικῶς θαυμάσω τὸ διάφορον, πρὸς τὸ αὐτὸ βλέπων τὸ σωτήριον καταντῶν ἄτοπον. τεκμήριον δ' οὖν ὡς τῶν ἐλπίδων διέψευσθε, τὸ μηδὲν τῶν ἐν ὑπο λήψει ὑμῖν δεδιότας μετακλιθῆναι τοῖς χείροσι· τοῦτο μαρτύριον, ἔλεγχος τοῦτο τῆς ἡμῶν ἀκαταγνώστου πολιτείας. ἀλλὰ πρὸς τούτοις καὶ αὐτὸς ταύτης συνίστωρ, πολλὰ τῇ ἀρχαιρεσίᾳ ἡμῶν μεμηχανημένος, ἑλεῖν ἐκθύμως τὸν νῦν εἱλκωμένον τε καὶ κατάπτυστον· εἰ μή που κἀκεῖνο σκηνὴ καὶ τοῖς ἐναντίοις ἡμᾶς τοὺς ἐπαινέτας ἤδη καταισχύνοντας ἁλίσκειν σπουδή. καὶ γὰρ δέος οὐκ ἀδεές, ὃ δή φασιν, εἶχεν, οὐχ οὕτω τοῦ φρικτοῦ ἐγχειρήματος, ὡς ταῦτα προορωμένους, οἷς τὸ καθ' αὑτὸν βιοτεύειν τοῦ μετὰ θορύβου βασιλεύειν ἤρεσκε μάλιστα· τί γὰρ ἡμῖν οὐδὲν δέον κυρίττειν τε καὶ κυρίττεσθαι καὶ τὸ ἐκ φιλοσοφίας συναυξηθὲν ἄπραγμον καπηλεύειν πονηρῶν ἀνθρώπων γνώμαις ἀντεξαγόμενον; ἀλλὰ γὰρ πρὸς θεοῦ τότε μὲν τοιοῦτος, νῦν δὲ κακός, ἁμαρτωλός; ἂν δὲ καταθύμιος ἔσομαι, τίς; οὐράνιος, ὅσιος, ἀμίαντος, κεχωρισμένος ἀπὸ τῶν ἁμαρτωλῶν καὶ εἴ τι ἕτερον Παύλῳ δοκεῖ τὸν μέγαν ἀρχιερέα σημαίνοντι; ἀλλὰ καὶ ταῦτα τῶν ὀπίσω χωρεῖν ὑμῶν καὶ ἀπ' ἐναντίας καταναγκαζόντων ἑστάναι. πολλὴ γὰρ χάρις ἁμαρτωλοῖς τοῖς ὁμοίοις δανείζουσι.

Κεφάλαιον δὲ τοῦ λόγου· τί καθ' ἡμῶν ἀκονῶσιν ὀδόντας, οἳ μηδὲν ἡμῶν τῶν κατ' ἐλπίδας ἀπώναντο, ἐνὸν τοῖς

7 CPG I 210; II 12 || 18 CPG I 183; II 4 || 25–28 Heb. 7, 26 || 28–29 cf. Ps. 37, 12 || 29–30 cf. Lc. 6, 34

16 scr. ἡλκωμένον? || 18 σπουδή Wk: -ῇ V

πάντα τολμῶσι καὶ τὸ δυσῶδες τῆς συκοφαντίας μεταδιώκουσι τῷ ταῦτα διατάξαντι Βασιλείῳ τὴν ὕπαρχον ἐκείνην βλασφημίαν ἐπι|φημίσαντας πραγμάτων ἀπηλλάχθαι; 150v *τοῦτο γὰρ μόνον τοῖς εἰς ἅπαντα προχείροις περίλοιπον. τίς γὰρ ἂν τοῦ τὰ τοιαῦτα εὐκόλου ἀνέξεται; ἕως δ' ἂν ἐκεῖνος μὲν ὁ ταύτης πατὴρ αὐτῇ βλασφημίᾳ ἀπόλωλε, μηδὲν ἐκ ταύτης Βασιλείου λυμηνάμενος τῇ δόξῃ, ἡ δὲ τοῦ θεοῦ ἐκκλησία τῷ τούτου καλλωπίζεται δόγματι, οὐδὲν ὑπολογιζομένη τῆς Διονυσίου ἀρχαϊζούσης τῶν ἐκκλησιῶν διατυπώσεως, ὅτι μὴ νόμος τοῦτο, κἂν ἱερὰν ταύτην οἱ ἀεὶ τῷ πνεύματι πλανώμενοι ἀπάγωνται ἄγκυραν, λεπτῇ τινὶ ταύτῃ μηρίνθῳ ἀποσαλεύοντες· — τί γὰρ μὴ καὶ τὴν Ἰωάννου τοῦ ἠγαπημένου περὶ τοῦ σωτηρίου πάθους παράδοσιν συνετήρησαν, ἀλλ' ἐκεῖ μὲν τοῖς θεοφόροις κράτιστον πείθεσθαι, ἐνταῦθα δὲ Βασιλείου τοῦ ὅλῃ συνόδῳ τὰ τοιαῦτα παρισουμένου καταυθαδίζονται, κἂν οὐκ ἀνεκτὸν τοῦτο τοῖς σώφροσι; — μέχρις ἂν οὖν οὗτοι μὲν τοῖς παροῦσιν αἰσχύνην ἐνδύωνται, τὰ Βασιλείου δὲ ἀνθῇ καὶ κρατύνηται καὶ τὸ Χριστοῦ ποίμνιον συγκροτῆται τούτοις καὶ ἐπαγάλληται, μικρὰ καὶ ἡμεῖς τῆς τε πονηρᾶς ὑπολήψεως τῶν πάθει ἐνοχλουμένων καὶ τῆς βασιλείας φροντίσομεν ἢ τοῦ μακροῦ τούτων ἀνεξόμεθα λήρου, ἐφ' οἷς αὐτοὶ βούλονται· ἀλλὰ καὶ λοιδορούμενοι εὐλογήσομεν καὶ διωκόμενοι ἀνεξόμεθα καὶ βλασφημούμενοι παρακαλέσομεν καὶ πάντα ποιήσομεν καὶ οὐδὲν παραλείψομεν ὅσα τῶν ὅσα μάλιστα φιλούντων εἰκός. φιλοῦντος γὰρ τοῦτο τὸ παρ' ἐμοῦ νῦν πραττόμενον, κἂν μηδεμία τοῦ καλοῦ αἴσθησις· τὸ γάρ τοι τὴν ἐπιθυμίαν αὐτοὺς κεκρικέναι ἀποτελεῖν οὐ δίδωσι ταῦτα νοεῖν, συνήσουσι δὲ ἐπειδὰν τὸ τῆς ἐπιθυμίας καταμαρανθῇ πῦρ καὶ λόγος ὁ πάντα κρίνειν εἰδὼς ἐπιστῇ· κἀγὼ τότε τῶν φιλοκρινούντων ἀνέξομαι ὥς τά γε νῦν λόγος ἄλλως καὶ κόμπος ὀδόντων τοῖς μισοῦσιν ἐπίχαρις. ὁ δὲ*

10–11 CPG I 256; II 118 || **11** Is. 29, 24 || **11–12** cf. Lucian., Iupp. trag. 51 || **12–14** Io. 20, 1 (cf. Dionys. Alex., Ep. ad Basilidem pp. 91–102 Feltoe = Rhalles-Potles 4, 1–4) || **14–15** Can. Trull. 89 (Lauchert p. 134, 18–23) || **23–24** 1Cor. 4, 12–13 || **32** cf. Hom. *Λ* 417; *M* 149

πάλιν ἐπιχειροῦσι διὰ τοῦ μιαροῦ Ξυλομαχαίρη, ἀνθρώπῳ ἐπιτιθέμενοι ὡς τοίχῳ κεκλιμένῳ τὴν τούτου τιμὴν ἐν δίψῃ ἀπώσασθαι σπεύδοντες, ἐντείνοντες ὥς γε οἴονται τόξον αὐτῶν, πρᾶγμα πικρόν, κραταιούμενοι ἑαυτοῖς λόγον πονηρόν, κρύπτοντες παγίδα ὡς ἂν ἐν ἀποκρύφῳ κατατοξεύσωσιν ἄμωμον ἐξ ἀφανοῦς βάλλοντες, ὃ καὶ τὴν βολὴν αὐτοῖς δῆθεν καιρίαν ἐργάσεται, ἆρα ἢ ἐμοί τι πλέον καὶ αὖθις τὸ κράτος ἢ τοῖς ὑποβεβληκόσι τὴν ἄκρατον αἰσχύνην περιποιήσεται; οὐκ ἔχω λέγειν. βέλος νηπίων ἥγημαι ταῦτα· συμπληρούτω γάρ μοι τὸν ἐπινίκιον ὁ Δαυίδ, ὅτι καὶ ἐξασθενήσουσιν ἐπ' αὐτοὺς αἱ γλῶσσαι αὐτῶν καὶ ὄνειδος αἰώνιον λήψονται.

Ταῦτα εἰ φιλεῖς λάλησον τῷ πατρικίῳ ἀπολογίαν ὧν ἡμῖν μέμφεται, εἰ μή τί σοι ἄλλο τὴν φιλίαν ἡμῶν παρευδοκιμεῖ, ὅτι μηδ' ἀληθῶς ἥδρασται, ἀλλ' ἐπὶ τῆς χρείας
151r *ὡς ἔοικεν ὅλως τε | καὶ τοῦ καιροῦ. οὐχ ὅτι ἢ τῆς σῆς δεόμεθα συνηγορίας ἢ τῆς ἐκείνου βοηθείας (τότε γάρ μοι χάνοι εὐρεῖα χθών), ἀλλ' ἵνα ἴσως τὸ ἁμάρτημα ἐγνωκότες μέμψωνται ἑαυτοῖς ἢ τὸ πᾶν ἢ τὸ πλέον, ἀλλ' οὐχ ἡμῖν. εἰ δὲ καὶ ἄγαν φιλεῖς καὶ αὐτόν, ὥσπερ διατείνῃ, φιλεῖς δὲ καὶ τὸν χρηστὸν βασιλέα, ὅρκον σοι τοῦτον προτείνω, ὃν σὺ δοκεῖς μέγιστον· καὶ ταύτην ὑπόδειξον αὐτῷ τὴν ἐπιστολήν. ὅρκῳ δὲ ταῦτα προτείνω τὸν πρὸς αὐτὸν ὑμῶν δοκιμάζων πόθον· δέδοικα γὰρ μὴ καὶ αὐτὸς εἶ τοῦ καιροῦ τούτῳ τὰ πρὸς φιλίαν, χήτει, φασί, τοῦ βίου τὴν φιλίαν αὐτοῦ ἐξωνούμενος.*

1–3 Ps. 61, 4–5 || **3–6** Ps. 63, 4–6 || **9–11** ib. 8–9 || **11–12** Ps. 77, 66 || **17–18** Hom. Δ 182 || **25–26** cf. Sir. 37, 5

8 *ἄκρα* ☰ *τον* **V** (scr. *ἄκραντον*?) || **15** *ἐπὶ*] fort. *ἔστι*

71

Λέοντι βασιλεῖ περὶ τῶν κατὰ πολυγαμίαν εἰς συνηγορίαν παλαιοὺς προκομιζόντων πατέρας

Circa idem tempus Leoni ipsi scribit Dionysii Alexandrini sententiam de matrimoniis obsoletam esse nec plus valere quam plurima talia in ecclesiis Alexandrina et Romana eo usque obtinentia.

Ναί, Διονύσιον ἐπιγινώσκω, θεόσοφε βασιλεῦ, καὶ οἷς ἐπέστησάς με οὐ κατὰ πάρεργον ἐντετύχηκα, οὐδὲ τοσοῦτον ἠγνόηκα ἀγνόημα ὡς καὶ τοῦ παντὸς ἁμαρτεῖν καὶ τῷ ἀξιοῦντι πλατὺν γέλωτα προσοφλῆσαι· πῶς γάρ, ὅς γε Μάρκῳ πειθόμενος τῷ σοφῷ, φερούσης τάχα πρὸς τοῦτο καὶ φύσεως δεξιότητος, τὸ 'ἀκριβῶς ἀναγινώσκειν' ποιοῦμαι περὶ πολλοῦ; ἀλλ' ὥσπερ ἐκεῖνο τίθεμαι περισπούδαστον, οὕτω καὶ τὸ λοιπὸν τῆς σοφῆς εἰσηγήσεως, τὸ 'τοῖς περιλαλοῦσι μὴ ταχέως συγκατατίθεσθαι'.

'Αλλ' εἰ μὲν ἠγνόησαν οἱ τοὺς κανόνας διαθέμενοι μακάριοι πατέρες τὰ τοῦ θείου Διονυσίου, οὔπω λέγειν εἰμὶ πρόθυμος ἔστ' ἂν καὶ τοὺς ὁμολογουμένως ἐντετυχηκότας τῷ βιβλίῳ αὐτοῦ μὲν ἠφειδηκότας ὁρῶ, τοῖς κανόσι δὲ τοὺς ἡμαρτηκότας ἕπεσθαι παντὶ σθένει κεκρικότας, ὅτι

7 *τὸν αὐτοκράτορα 'Ρωμαίων λέγει· αὐτὸν γὰρ ἐν τῷ πρώτῳ τῶν 'Ηθικῶν αὐτοῦ μὴ ταχέως ἀναγινώσκειν φησί.* C mg.

6–11 Antonin. 1, 7, 7

71 VC – Jk-Ld pp. 329–330; Pk pp. 267–268 || **1** *Λέοντι* **V**: *τοῦ αὐτοῦ Λέοντι τῷ* **C** | *κατὰ πολυγαμίαν* **V**: *πολυγαμίας* **C** || **2** *προκομιζόντων* **V**: *προσκομιζόντων* **C** || **3** *Ναί* **V**: *Καὶ* **C** || **11** *συγκατατίθεσθαι* **Pk, Ld**: *συγκατίθεσθαι* **VC** || **15–16** *ὁρῶ — ἡμαρτηκότας* **V**: om. **C** || **17–18** post p. 107,18 habet **C** || **17** *αὐτὸν*] fort. *αὐτός*

καὶ Παῦλον ἑώρων τὸν ἕως τρίτου οὐρανοῦ ἀναπτάντα καὶ τὸν ἀθεάτων ἐπόπτην καὶ ἀκουστὴν γεγονότα πολλῷ τῷ ἀποτόμῳ κατὰ τῶν οὕτως ἁμαρτανόντων χρώμενον. ἢ εἰ μὴ τούτῳ, ἀλλὰ Διονυσίῳ δεῖ πείθεσθαι, ἀφανιζέσθωσαν μὲν κανόνες καὶ ἐξ αὐτῶν τῶν γραμμάτων ἃ καὶ μόνα λοιπά, ἀντεισαγέσθω δὲ ἡ ἄνετος καὶ ἀπαιδαγώγητος πολιτεία Χριστιανοῖς, οὐκ ὄντος δραστηρίου φαρμάκου ᾧ τὸ τῶν ἐμῶν μωλώπων προσόζον ἀποστυφθείη σαπρότατον, οὐκ οὔσης ῥιτίνης ἐν Γαλαάδ, τὸ τοῦ ἱεροῦ γράμματος, οὐδὲ τόπου τῆς δεξιᾶς χειρός τε καὶ στάσεως.

Ἄλλως τε δὲ καὶ οὐδὲ νόμος, ὅς γε κατάστασιν ἀρχαΐζουσαν διατυποῖ ἐκκλησίας, πολλῶν καὶ ἄλλων καὶ τότε μέν, εἰσέτι δὲ καὶ νῦν παρά τισιν ἐκκλησίαις ἐθῶν κεκρατηκότων οἷς οὐκ ἀκολουθεῖν τὴν γείτονα δεδοκίμασται. ἐπεὶ οὕτω γε κατὰ μὲν τοὺς πάλαι ἐξειθικότας καὶ γυναιξὶ συνέσονται οἱ ἐπίσκοποι καὶ τοῖς ἀπίστοις ἀδιαφόρως τὰ γαμικὰ ἐπαφεθείη συζύγια· εἰ βούλει δὲ καὶ τοὺς ἐνεργουμένους τῶν θείων ἀξιώσομεν μυστηρίων, ἐπεὶ καὶ τοῦτό τινες ἀξιοῦσι τῶν ἁπλοϊκῶν καὶ ἀρχαίων, καὶ τὰ τῆς θείας 151v *μυσταγωγίας ὡς ἐκείνοις ἡμῖν | ἐπιτελεσθείη οὐ τῷ ἐπιτυχόντι διαφόρῳ τῶν νῦν ἐπιτελουμένων διενηνοχότα. ἀκούω δὲ καὶ Ἀλεξανδρέας τῶν κυριακῶν ὑπαναγινωσκομένων λογίων τοὺς προέδρους μὴ ἐπανίστασθαι, ἡμῶν ὥς τι τῶν ἐξαγίστων λογιζομένων τὸ καθέδρᾳ προσανέχειν τούτου γινομένου. ἐπικρατεῖ δὲ καὶ τοῦτο παρὰ τοῖς Ἰταλοῖς, συνεισάκτους ἐπάγεσθαι (ἴσως ἀποστολικῷ ἔθει, οἳ καὶ αὐτοὶ γυναῖκας ἀδελφὰς περιῆγον), καὶ πολέμοις τοὺς ἱερᾶσθαι λαχόντας ἐγκρίνεσθαι. ἀλλ' οὔτε νόμος, ἢ φθάνομεν εἰρηκότες, τὸ ἰδιάζον, κἂν νέον κἂν παλαιὸν ᾖ, οὔτε*

1–2 2Cor. 12, 2–4 || **7–8** Ps. 37, 6 || **9** Ier. 8, 22 || **9–10** Mt. 25, 33 || **22–23** Sozom., Hist. eccl. 7, 19 || **26–27** 1Cor. 9, 5

2 *τὸν* V: *τῶν* C || **4** *δεῖ* C: *δὲ* V || **9** *ῥητίνης* C || **10** *τόπου* C: *τρόπου* V || **11** *ὅς γε* V: *ὅτε* C || **21** *διενηχότα* C || **22** *Ἀλεξανδρείας* Ld || **25** *τούτου* V: *τοῦ* C || **29** *ᾖ* V: *ἦν* C

τὸ μέχρι δεῦρο σεσιγημένον ἀνανεοῦν δίκαιον, παλαιοὺς δή τινας νεκροὺς ἀναμοχλεύειν πειρώμενον καὶ κινεῖν τὰ ἀκίνητα. ἑνὶ δὲ λόγῳ, μὴ τοσοῦτον λογισμοῦ ἀποσφαλείην, θεὲ τῶν ὅλων καὶ κύριε, ὁ δίδως ἀνθρώπῳ σοφίαν καὶ σύνεσιν, ὡς τοῖς ἐνεργουμένοις συντάττειν κράτος θεοφιλὲς καὶ τῶν πιστῶν ἐγκαλλώπισμα, μεθ' ὧν οἱ τοῖς ἑαυτῶν συνηγορεῖν ἐνθυμήμασιν ἀκράτῳ φιλοτιμίᾳ ἐχόμενοι τοὺς σωφρονοῦντας συνάγουσι, μαχαίρᾳ πῦρ σκάλλοντες, τὸ τοῦ λόγου, καὶ καπνὸν φεύγοντες εἰς τὸ πῦρ ἐναλλόμενοι, Διονυσίῳ δῆθεν πειθόμενοι. ἀλλ' εἴη μοι μετὰ Παύλου καὶ τῶν πατέρων ἐκείνων τετάχθαι οἳ Διονύσιον ἀγνοήσαντες σώφροσι τοὺς ἡμαρτηκότας κατέλεξαν καὶ χώρᾳ τῇ προσηκούσῃ, τῶν ἐνεργουμένων ὡς θέμις πάντῃ τούτους ἀλλοτριώσαντες.

5 *ἐνεργουμένοις] ἔφασκον ὅτι καὶ τοῖς δαιμονῶσιν ἐφεῖται μετάληψις τῶν θείων μυστηρίων.* **C mg.**
14 *ζήτει τὴν Διονυσίου γραφὴν εἰς τὸν ιγ' κανόνα τῆς ϛ' οἰκουμενικῆς συνόδου.* **C mg.**

1–2 cf. CPG II 526 || 2–3 CPG I 22; II 5 || 4–5 cf. 1Par. 22, 12 || 8–9 CPG II 516 || 9–10 CPG I 314; II 220 || 17–18 cf. Can. Trull. 13 (Lauchert p. 107, 13–108, 18)

2 *πειρώμενον* **V:** *-οι* **C || 8** *μαχαίρα* **V:** *μέχρι* **C || 9** *τὸ*[1] **V:** *καὶ τὸ* **C || 10** *δῆθεν πειθόμενοι* **V:** *πεθόμενοι δῆθεν* **C || 17 1** *ϛ'* **Ld:** *α'* **C**

72

Λέοντι βασιλεῖ κακοῦν ἐναρχομένῳ

Euthymio iam ad patriarchatum provecto (ergo post init. m. Febr. 907) defendit se de crimine a Xylomachaere olim illato (cf. Op. 66), nunc post multos annos repetito, eo consilio ut quarto Leonis matrimonio resistere tandem desineret. queritur *crimen* iamdudum falsum repertum esse iudicibus ipso Euthymio, Christophoro Cyziceno episcopo, aliis; *reum* defatigatum assidua contentione pro iure canonico; *imperatorem* delatori publicis subsidiis adfuisse; *iudicum* partibus suos inimicos fungi; *accusatorem* ipsum multis sceleribus obstrictum, partim quae Constantinopoli commisisset, partim quae in Graecia, quorum sibi poenas luisse cum a Leone in Graeciam missus esset ut a talibus maculis ecclesias purgaret (clericum fuisse ex hoc colligendum est), et etiamtunc iudicio obnoxium. hunc meritas poenas dare, se absolvi postulat.

Σοὶ μέν, πανάγαθε βασιλεῦ, πολλὴ χάρις τῆς εἰς ἡμᾶς ὡς ἔοικε κηδεμονίας, ᾧ γε παρὸν τὸ προτεθὲν ῥᾶστα πᾶν ἐκτελεῖν (οὐδὲν γὰρ τῇ βασιλείᾳ ἐμποδών) οὐ κατακέχρησαι τῇ ἐξουσίᾳ, ἀλλ' ἐπὶ δίκην καλεῖς καὶ λόγου μεταδίδως δικαιολογίας. ἀνθ' ὧν κἀμοὶ περιγέγονε τὸ θαρρεῖν καὶ πρὸς γενναίαν ἀπολογίαν διαναστῆναι· οἷς γὰρ ὁ ἐγχειρῶν νόμος ἀργός, ἐπὶ τὸ πείθειν πάντως ἢ καὶ πεισθῆναι λοιπὸν ἡ ὁρμή. ἀλλὰ γὰρ σκόπει, χρηστότατε, εἴ σοί τι μέλλω καὶ τοῦτο δίκαιον περὶ τῶν προκειμένων ἐρεῖν· εἰ γὰρ μὴ τοῦτο, τίς ἔτι λόγος μὴ τῷ ἥττονι λόγῳ με ὑπαγόμενον αἰσχύνην τε προσόφλειν καὶ πᾶν ὅ τι ἄλλο τὸ τῆς δίκης ἐνδίδωσιν αὐστηρόν; καί μοι μηδὲν δυσχερές,

72 V – Jk-Ld pp. 331–333 || **2** *Σοὶ* Lb, Ld: *Ποὶ* **V** **7** *ἐγχειρῶν*] fort. scr. (vitiose sane) *ἐν χειρῶν*, cf. I p. 10,14

γαληνότατε, πάθοις, ὅς κρίσιν ἀγαπῶν, ἢ τοῖς ἀεὶ βασιλεύουσι τιμὴν περιτίθησιν, ἐπὶ τὰ παρόντα κατέστησας, εἰ τοῖς ἀπὸ τῆς ἀντιλογίας λόγοις σκοπὸν τὴν ἀλήθειαν ποιουμένοις ἡμῖν συναναφαίνοιτό τι πικρίας ἐχόμενον, ἐπεί τοι καὶ τὸ ἀληθὲς εἶναι πικρὸν ἡ σοφὴ παροιμία κρατύνεται, ἄλλως τε καὶ τὸν περὶ τοῦ παντὸς ἀγῶνα προκειμένου μοι θεῖν, ὁπηνίκα μηδενὸς κήδεσθαι τῶν ψυχὴν παραιτουμένων ἐπάναγκες.

Καλεῖς ἐπὶ δίκην, φιλανθρωπότατε· ποίαν ταύτην καὶ τίνα καὶ τίς καὶ παρὰ τίσι καὶ πότε κεχρημένην καὶ τίνι διώκοντι;

Δίκην τε γὰρ ἐλαύνεις ἢ πάλαι ὑπὸ πολλοῖς ἀρχιερεῦσι τοῦ τότε καιροῦ συκοφαντία ἐλήλεγκτο, καὶ ἔτισεν ἂν τὴν ἀξίαν ὁ συκοφάντης, εἰ μή τίς με λόγος τῆς τοῦ | κυρίου 152r μακροθυμίας ὑποδραμὼν τὸ πᾶν τῆς δικαίας ὀργῆς προκατέλυσε. μάρτυρες τούτων ἄλλοι τε πολλοὶ καὶ δή γε καὶ νῦν ὃς τὸ τῆς ἐκκλησίας ἁπάσης μεταχειρίζει πηδάλιον εἰς τοὺς συγκέλλους τηνικάδε τελῶν, καὶ Χριστοφόρος ὁ βέλτιστος σύγκελλος, Κυζίκου τότε τὴν ἐκκλησίαν ἰθύνων, ὅς παραχρῆμα καὶ τὴν ἐμὴν χρηστότητα ἐμακάρισε καὶ τὴν τοῦ συκοφάντου κακοήθειαν ἐβδελύξατο καὶ οὕτως ὡς μὴ ἂν αὐτῷ δίκαιον τῷ συκοφάντῃ ἀποφυγῆς τόπον περιλειφθῆναι ἐμβριθῶς ἀποφήνασθαι. σάββατον ἦν τὸ μέγα καὶ θεῖον καθ' ὃ ταῦτα συνεκροτεῖτο καὶ τόπος τῆς ἀγωνίας τὸ ἱερὸν μιτατώριον.

Ἐπιβάλλεις δὲ κρίσιν, σοφώτατε, ἀνδρὶ τῷ βάρει τῆς φυλακῆς τῶν ἱερῶν κάμνοντι κανόνων καὶ ταύτῃ γε δὴ κεκλιμένῳ ὡς τοίχῳ καὶ ὡς φραγμῷ ἀπεωσμένῳ, ὃν κἂν ὗς, τὸ τοῦ λόγου, δάκοι· αὐτὸς ὢν τῶν τοιούτων ἡμῶν παθῶν τὸ κεφάλαιον, βασιλεὺς οὐδὲν τῶν ἐπὶ νοῦν ἡκόντων εἰς ἀνήνυτον περαινόμενος (ἅπαν γὰρ ὑποπτήσσει τὴν δυναστείαν), ὃς καὶ δημοσίοις ἱπποστασίοις, οὐ κατὰ βασι-

1–2 Ps. 98, 4 || **28** Ps. 61, 4 || **28–29** cf. CPG I 268 adn.

1 ἢ Ld: ἡ V

λέα τοῦτο ποιῶν, κατάγεις τὸν συκοφάντην τὸ ψεῦδος συλλέξασθαι καὶ πάλιν ἀνάγεις τὴν ἠθροισμένην αὐτῷ τερατεύσασθαι μιαρίαν, καὶ ταῦτα προστάγματι καὶ λόγοις ὑπηνεμίοις τε καὶ ψιλοῖς, οὐ πράγμασιν ἀληθέσι καὶ βεβαίοις, οἷς καὶ δοθεῖσι μόγις ἀρχιερεὺς θεοῦ ἁλίσκεσθαι πέφυκε· τίς γὰρ καὶ πράγματος βεβαιότης οὗ μηδὲ τὴν ἀρχὴν ὑπόστασιν ἔγνωμεν, ὡς ὅ γε Ἰωάννης ᾧ τὸ ἐπώνυμον Ῥαβδοῦχος ἀληθείας συνηγορούσης παρέστησε;

Προκαλῇ δέ, δικαιότατε, τοῖς διαφόροις ἐμοὶ κριταῖς χρήσασθαι· ἀλλ' οὔπω τοῦτο καὶ τήμερον ὅσα κριτὰς Ῥωμαίων εἰδέναι εἰς νόμους ἀνθρώπων ἀναφερόμενον· κατηγορεῖ δὲ ἀνθρώπιον μιαρόν τε καὶ δύσχρηστον, οὐδ' ἄξιον ζῆν μὴ ὅτι γε βασιλεῖ ἐμφανίζεσθαι, καὶ μυρίαις ταῖς πλημμελείαις ἐνισχημένον, οἷς τέ τισιν ἐνταῦθα ἑάλω ἐργολαβοῦν, ἧπερ δεδήλωται, καὶ οἷς ἀνὰ Ἑλλάδα πεφώραται καὶ δίκην τούτων, εἰ καὶ μὴ πασῶν, ἀποτῖσαν, ὁπηνίκα με ἡ θεοφρούρητος ὑμῶν βασιλεία Ἑλλάδι ἀπέστειλε πολλῶν τοιούτων ἐκκλησιαστικῶν ῥυπασμάτων τὴν ἀνακάθαρσιν ἐκπονῆσαι καὶ διανύσασθαι, καὶ εἰσέτι καὶ νῦν ὑπόδικον· ὃ τοῦ ἐξήκοντος χειμῶνος πολλοῖς μὲν ἀρχιερεῦσι λυθῆναι τῆς καταδίκης ἡμᾶς ἐβιάσατο, τυχεῖν δ' οὐδαμῶς δεδύνηται τοῦ σκοποῦ. ἀλλ' ὅ γε τῶν ἑκατὸν πεντήκοντα πατέρων ἕκτος κανών, ὃς ταυτηνὶ τὴν βασιλίδα τῶν πόλεων ἱερὸν δικαστήριον ἐκληρώσατο, πόρρω πόρρω ποιεῖται τῆς τῶν ἱερῶν διαγνώσεων κιγκλίδος τοὺς ταῖς 152v *ποιότησι ταύταις περιστοιχουμένους | καὶ τοιοῦτον τὸ ἑαυτῶν παρέχοντας γνώρισμα.*

Καὶ ὅτι μὲν οὐκ ἐν δίκῃ, οὐδὲ θείων θεσμῶν, οὐ πολιτικῶν νόμων ἐχόμενα τὰ μετὰ χεῖρας καθ' ἡμῶν ἐγχειρούμενα, σαφῶς ταῦτα ὑπέστησε. κἂν μέν, συμπαθέστατε βασιλεῦ, τῇ ἐξ ἀρχῆς χρώμενος δικαιοσύνῃ ἀποκλείσῃς τοῖς ἡμῖν ἐφεδρεύουσι τὰ ὦτα, καὶ τὸν θρασὺν καὶ αὐθάδη

22–27 Can. Constantinop. (a. 381) 6 (Lauchert p. 86, 5–9)

21 ἡμᾶς] ὑμᾶς Jk

καὶ ἀλαζόνα καὶ διὰ ταῦτα λοιμὸν Ξυλομαχαίρην τῆς δικαίας τιμήσῃ ζημίας, δίκαιον ὄντα πολλῶν ἕνεκεν ἀπολωλέναι, ὃς οὐκ ἔδεισεν ἀναιδεστάτῃ γνώμῃ σκινδαψοὺς ἡμῖν ἐγκλημάτων ἀναπλάσασθαι καὶ τραγελάφους καὶ τοῦτ' ἐκεῖνο τὸ καὶ κατὰ Ἀθανασίου τοῦ θείου ἀοίδιμον τὴν Ἀρσενίου περιφερομένην ἀνανεώσασθαι χεῖρα, — εἰ ταῦθ' οὕτω προβαίη, χάρις θεῷ ἀνθ' ὧν οὐκ ἐπέστησας σεαυτὸν ἐφ' αἵματι ἀθῴῳ, ᾧ μέχρι τοῦ νῦν ὥς γε οἴομαι ἐγκαυχᾷ, ἀλλ' ἐξείλου τὴν ψυχήν σου ἐκ θανάτου, τοὺς ὀφθαλμούς σου ἀπὸ δακρύων, καὶ τοὺς πόδας σου ἀπὸ ὀλισθήματος· οὗ τί ἂν ἐμοὶ κερδαλεώτερον ἄλλο τῷ μὴ κατὰ σάρκα διαγινομένῳ ὑμῖν καὶ τῆς ἐμαυτοῦ χάριν εὐποτμίας καί, ὅ φασιν οἱ σοφοί, γαστρὸς ἕκατι; τυχὸν δέ τι καὶ πλέον τοῖς κρείττοσιν ἕξεις ὅτι μὴ τοιούτῳ καθάρματι διεπαίχθης τῷ κρείττονι προσνεμόμενος. εἰ δέ με τὰ χείρω νικῴη, τῆς δίκης μὲν ἀσθενούσης ἀντιδιδομένων δ' ἡμῶν τοῖς ὀργῶσι τοὐμοῦ πιεῖν αἵματος, ἐμοὶ μὲν τὸ ἐκεῖ κριτήριον ἀποκείσεται εἰς δικαίωσιν, ὃ μὴ πρόσωπον οἶδε θαυμάζειν μηδὲ δυνάστην ἐντρέπεσθαι, τῇ δ' ὑμετέρᾳ βασιλείᾳ εὖ οἶδα μεταμελήσει κἂν τούτῳ ὥσπερ ἐφ' οἷς ἄλλοις μετέγνωκας καθ' ἡμῶν ἐπιχειρήσας πονηρῶν ἀνθρώπων καὶ ἀλαστόρων γνώμαις πειθόμενος, εἰ καὶ μηδὲν πλέον ὑμῖν τῷ μεταμέλῳ συνήνεγκε· λογισθήσεται δὲ καὶ ἡμῖν καὶ τοῖς ἄλλοις παιδιὰ τὰ παρόντα καὶ τῶν ἐπὶ ψάμμου οἰκοδομῶν κατ' οὐδὲν ἄμεινον, καί γε τοιούτους ἀεὶ πολέμους ἡμᾶς διώκειν εὐξόμεθα.

4–6 Athan., Apol. 63, PG 25, 364B6–10; Socr., Hist. eccl. 1, 27–29 || **7–8** cf. Lev. 19, 16 || **9–10** Ps. 114, 8 || **12–13** Sir. 37, 5 || **24–25** Mt. 7, 26

11–12 *διαγινομένῳ*] -*ι*- ex -*ε*- V || **15** *δέ με τὰ* Ld: *δὲ μετὰ* V

73

Τῷ αὐτῷ μετὰ ἑστίασιν τραχέσιν ἐφορμήσαντι λόγοις

Hanc epistulam, qua (si sententiam mutilam recte supplevi) crimen officii neglecti purgat, Kougeas d. 2 Febr. 907 conscriptam esse putat, Jenkins post reditum, ut temporum ordo servetur.

Οὔτε καθέδρας, φιλανθρωπότατε βασιλεῦ, ἐφιέμενος ἐπισκόπων (πῶς γάρ, ὃς μόγις ἐπένευσα αἰδοῖ καὶ βίᾳ μεταπεισθεὶς πατρὸς καὶ δεσπότου; ἴσασι σχεδὸν ἅπαντες, ἐπίσταται καὶ χρόνος ἐπὶ τοσοῦτον παραταθείς)· οὔτε οὖν θρόνων ἐπιθυμίᾳ, οὐ δόξης κενῆς ἔρωτι καὶ τῷ τὶς εἶναι νομίζεσθαι παρὰ βασιλεῖ ἐπὶ τὴν παροῦσαν κατέστην ἀπολογίαν (τί γάρ μοι καὶ δόξης τῆς ὄντως ἀλλοτριούσης καὶ θᾶττον δραπετευούσης;)· ἀλλὰ κατέστην ὅτι μοι τὸ ὑμέτερον κράτος τῇ προτεραίᾳ ὑπὲρ καπνοῦ . . .

10–11 cf. Hes., Op. 45; 629 (an Aristoph., Nub. 320?)

73 V – Jk-Ld p. 333 || **11** suppleas *τὸ πηδάλιον κρεμάσασθα·* (*καταθέσθαι*) *ἐνεκάλεσεν* (cf. Hes.)

74

ʼΑρέθα ἀρχιεπισκόπου Καισαρείας Καππαδοκίας γνώμη, πρὸς τὴν σύνοδον μὴ δυνηθέντος ἀπαντῆσαι 254

Extrema pars epistulae m. Aug. 931 ad synodum datae, cui propter solitam inflationem interesse non potuit. de Aetio sententiam sibi constare; Tryphonem vero patriarcham, quia Theophylacto locum dare pollicitus in fide non steterit, conversatione etiam parum sancta sit, sacerdotio demovendum esse. Deum interim (nempe donec Theophylactus ad aetatem maturiorem pervenisset) heredem digniorem provisurum.

Περὶ μὲν ʼΑετίου, τιμιώτατοι ἀδελφοὶ καὶ συλλειτουργοί, οὕτως ἀδαμαντίνως ἔχω καὶ οὐκ ἄλλως· ὁ δὲ ἀλλοίως ἔχοντας ἡμᾶς οἰόμενος ταῦτα ληρεῖν ἐχέσθω ταύτῃ· οὐ νέμεσις Τρῶας καὶ ἐυκνήμιδας ʼΑχαιοὺς τοιῷδ' ἐπ' ἀνδρὶ ἀντίξοα τούτων φρονεῖν. τῷ δὲ εὐλαβεστάτῳ κυρίῳ Τρύφωνι τὴν ἐμὴν γνώμην καὶ τὴν πρώτην ἐπὶ τῆς ἀρχαιρεσίας αὐτοῦ γραμματίῳ ἀθετήσαντι πίστιν, ὅρους φημὶ πατέρων συγκεχυκότι, πρὸς τούτοις καὶ μηδὲ τῷ πρὸς θεοσέβειαν στοιχειώδει βίῳ τὸ ἀνενδεὲς ἐν ἑαυτῷ ἐπιδεδειχότι, οἷος ἐπὶ τῇ τοῦ Μιχαὴλ μονῇ ἀπηλέγχθη, τούτῳ καλὸν τὴν καθ' ἑαυτὸν ἑλῶντα κοπάσαι τῶν ἐκκλησιαστικῶν πόνων, τῶν τοῦ θεοῦ μὲν ἀποσχόμενον φρικτῶν καὶ ἐνανεπηρεάστων ὀργίων, πρὸς δὲ τὴν ἀποκειμένην αὐτῷ τῶν ἱερῶν μεταφοιτῆσαι τόπων, μηδὲ | τὸν τόπον κατὰ τὴν ἐν εὐαγγελίοις 255 *ἄκαρπον συκῆν καταργεῖν, ἐτώσιον ἄχθος ἐναποκείμενον ἀρούρης. εἰ δὲ τὸ ὅπως ἀπὸ τοῦδε τὰ ἱερὰ διεξάγοιτό τις*

5–7 Hom. *Γ* 156–157 || **9–10** cf. Prov. 22, 28 || **12–13** CPG I 314 adn.; II 217 || **16–17** Lc. 13, 6–9 || **17–18** Hom. *Σ* 104

74 C – Pk pp. 254–255 || **5** *ληρεῖν* Kurtz: *-ῶν* C || **7** *φρονεῖν* Wk: *-ῶν* C || **11** *στοιχειώδει*] fort. *στοιχοῦντι* || **13** *ἑλῶντα* Wk: *ἑλόντα* C || **17** *καταργεῖν* Pk: *καταρῶν* C

ζητοίη, ὡς ὁ θεοσυνέργητος βασιλεὺς κῦρις Ῥωμανὸς τῇ προτεραίᾳ διηπόρησεν, οὐχ ὑστερήσει κύριος τὰ ἀγαθὰ ἐπιβραβεῦσαι τοῖς ἐκζητοῦσιν αὐτὸν ἐν ἀληθείᾳ. ὁ γὰρ εἰς πάντα συνεργήσας θεὸς τῷ ἀγαθῷ βασιλεῖ δώσει ῥῆμα δυνάμει πολλῇ, ὁ βασιλεὺς τῶν δυνάμεων, τῇ ὡραιότητι τῆς ἑαυτοῦ κατοικίας διελέσθαι τὸν κληρονόμον. ταῦτα, τιμιώτατοι ἀδελφοί, μὴ δυνηθεὶς αὐτοπροσώπως ὑμῖν χρηματίσαι διὰ τὸ σύντροφον κακὸν τῆς ἐμπνευματώσεως, ἐγγράφως ὑμῖν ἐξεθέμην, ἴσως δὲ καὶ ἐναργέστερον τούτων τοῖς βουλομένοις τὴν περὶ τῶν προκειμένων γνώμην ἡμῶν ἀναμαθεῖν.

2–3 Ps. 83, 12 || **3** Ps. 144, 18 (cf. Ps. 30, 24) || **4–6** Ps. 67, 12–13

7 *ὑμῖν* Pk: *ἡμῖν* C

75

Νικολάου πατριάρχου τὰ κατ' αὐτὸν καὶ τοὺς τότε ἀρχιερεῖς διὰ τὴν τετραγαμίαν

Nicolaus patriarcha post reditum (d. 15 Mai 912) sententiam fert de episcopis Euthymianis; quibus obicit quod matrem ecclesiam in periculis prodiderint, quod a se rectore eius defecerint, secreto primum, deinde palam, cum imperatoris minis perterriti pactum obliti sint quo se obligassent nihil incepturos ad dispensationem imperatori defuncto tribuendam nisi patriarcha consentiente. deinde cum iussu imperatoris ex urbe abducerentur obsecravissetque ipse aeternam damnationem minitans ne quis privatim quicquam in hac re agere auderet, ex factis eorum apparuisse eos nec temporale neque aeternum iudicium curare. depositum se esse specie ab imperatore, revera ab episcopis; quos, cum Leo conscientia sceleris agitatus de se revocando cogitaret, omnibus modis obnisos esse ne inceptum ad finem perduceret, quin etiam abdicationem scriptam poposcisse. quam tunc ediderit, non abdicationem esse, sed abdicationis ludibrium, praesertim cum exsul, captivus, fame maceratus, algens eam composuerit. subiunguntur ipsa verba abdicationis, quibus profitetur sedem se abdicare, sacerdotii ubicumque sit muneribus functurum, quandoquidem ea deponere canonum rigidissima lex vetuerit (m. Febr. 907). haec ita nunc interpretatur, quolibet loco plenam potentiam sacerdotalem sibi relictam esse. quae deinde commiserint flagitia silentio se velaturum, ne auditorum iram nimis iustam in eos commoveat. quamobrem canonibus citatis quibus ea sententia nititur, sollemnibus verbis dignitate demotos pronuntiat.

‘Υἱοὺς ἐγέννησα καὶ ὕψωσα, αὐτοὶ δέ με ἠθέτησαν’, προείρηται πάλαι περὶ ὧν προείρηκεν ὁ θεός· νυνὶ δὲ ὡσαύτως εἴποι ἂν ἡ τοῦ θεοῦ ἐκκλησία εἰκότως περὶ τῶν

3 Is. 1, 2

75 C — Pk pp. 255–259; Kh pp. 748–757

ἐπὶ κακῷ τῷ οἰκείῳ γεννηθέντων αὐτῇ· κακὰ γὰρ ἐπεσωρεύσατε ἑαυτοῖς, καθ' ἑτέρων ἐπισυναγαγεῖν ταῦτα σπουδάσαντες, οἱ πῶς εἴπω οὐκ οἶδα, ἢ ποίοις κρίμασιν, ἀντὶ τέκνων ἐχθροὶ μέλλοντες ἔσεσθαι, ἐν τῇ μυστικῇ παστάδι ἀποτεχθέντες τῆς ἐκκλησίας. ἀλλὰ γὰρ τετοκυῖα ὑμᾶς, ὡς εἴθε μὴ ὤφελε, καὶ ὑψώσασα, τῶν ὠδίνων ἔσχεν ἀμοιβὴν παρ' ὑμῶν τὴν ἀθέτησιν· δέον γὰρ ὑπὲρ τῆς ἀκηράτου καὶ ἀχράντως τεκούσης προκινδυνεύειν ὑμᾶς καὶ πάσῃ δυνάμει τῆς δόξης καὶ τιμῆς ἀντέχεσθαι τῆς μητρός, ὑμεῖς δὲ τὴν ἐναντίαν μᾶλλον εἵλεσθε γνώμην, καὶ ἀντὶ τοῦ προκινδυνεύειν περιεστήσατε εἰς κινδύνους, καὶ τὸν ὑπὲρ αὐτῆς ὀφειλόμενον ἀγῶνα εἰς τὸν κατ' ἐκείνης μετεστρέψατε πόλεμον, καὶ ἀντὶ τοῦ τιμᾶν ὑβρίζειν ἐγνώκατε, καὶ ὕβριν ἣν μήτε ὁ προλαβὼν ἀνθρώποις ὑπέδειξε χρόνος, εἰπόντες
256 τοῦτο δὴ τοῖς πράγμασιν, εἰ καὶ μὴ λόγοις, τὸ | τοῖς πορευομένοις ὀπίσω τῶν οἰκείων θελημάτων εἰρημένον, 'τὰ χείλη ἡμῶν παρ' ἡμῶν ἐστί· τίς ἡμῶν κύριός ἐστι;' νομίσαντες πᾶσαν αἰδῶ καὶ δικαιοσύνην ἐξ ἀνθρώπων ἠφανίσθαι, μᾶλλον δέ, εἰ δεῖ τὴν πᾶσαν ὑμῶν διάνοιαν ἐξειπεῖν, μηδ' ἐν τῷ μέλλοντι δοκοῦντες πολιτεύεσθαι δικαιοσύνην αἰῶνι. πῶς γὰρ τοιούτων δραμάτων ἐγένεσθε ποιηταί, εἰ δίκης ἐν ὑμῖν ἀνέβαινε λογισμός, πρῶτον μὲν κατὰ τοῦ οἰκείου ἀρχιερέως καὶ διέπειν τὴν ἐκκλησίαν (εἰ καὶ ἀχρείου) λαχόντος καὶ τῆς ἰδίας κεφαλῆς ἀποστασίαν μελετήσαντες καὶ πολέμιοι ἀντὶ τέκνων γεγονότες; ἢ οὐχὶ τοῦτο καὶ πρὶν λανθάνοντες συνεσκευάσασθε καὶ κατ' ἐκείνην δὴ τὴν ἡμέραν ὅτε ἀναίδην καὶ δημοσίᾳ ἡμῶν ἀπέστητε δήλην τὴν συσκευὴν ἐποιήσασθε; τοῦ γὰρ βασιλέως συγκεκληκότος ἡμᾶς καὶ τοιαύτην ἀφιέντος φωνήν, 'ὅσοι τῆς μερίδος, τῆς ἡμῶν χωρίσθητε βασιλείας', φανερῶς ἐξ ἡμῶν ἀπορραγέντες οἷόν τι πολέμιον στῖφος ἐκείνῳ προσέθεσθε· καὶ τοῦτο οὐχ ἅπαξ, ἀλλὰ καὶ πάλιν ἐν τοῖς βασιλείοις προσκεκλημένοι δὶς ἀπειργάσασθε. καὶ

15–16 cf. Sir. 18, 30 ‖ **17** Ps. 11, 5

17 τὰ χείλη Pk: ταχίλη C

ἡ ἄρνησις δὲ τῆς ὁμολογίας ὑμῶν, ἣν ἐνώπιον θεοῦ καὶ ἀγγέλων καὶ ἀνθρώπων ὡμολογήσατε, μηδὲν τῆς ἡμῶν ἔξω γνώμης πράττειν ἀλλὰ μᾶλλον ἀκολουθήσειν ἡμῖν, εἴ τι γνοίημεν περὶ τοῦ ἐξ ἀνθρώπων ἀπελθόντος βασιλέως οἰκονομεῖν, πρὸς τί ἄλλο ἢ πρὸς τοῦτο καταστρέφει, τὸ μὴ προσεῖναι ὑμῖν ἔννοιαν δικαιωτηρίου καὶ κρίσεως; τὸ δὲ παρὰ τῆς ἡμῶν μετριότητος, ὁπότε τὸ σχῆμα τῆς βασιλικῆς παρακελεύσεως ἅπαντας ἐξῆγε τῆς πόλεως, εἰρημένον ὑμῖν κοινῇ συνηθροισμένοις καὶ πρὸς τὴν ἔξοδον σύνταξιν ποιουμένοις, ὡς οὐδενὶ ἔξεστι χωρὶς τῆς πάντων συμφωνίας ἐπιτελεῖν τινὰ οἰκονομίαν, ἀλλ' εἴτε δοίη θεὸς ἐν βίῳ διαμένειν ἡμᾶς, εἴτε ἐξ ἀνθρώπων μεθίστησι, κοινῇ γνώμῃ καὶ ψήφῳ, εἴ τι γενέσθαι δεήσειε, τοῦτο ἐπιτελεῖν, καὶ ὡς εἴ τις μὴ οὕτως φρονήσειεν ἀλλ' ἄνευ τῆς κοινῆς πάντων ἐπικρίσεως τολμήσει τι πράττειν, οὗτος ἀπαραιτήτως εἴη φέρων τὴν καταδίκην παρά τε πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος ἔν τε τῷ νῦν αἰῶνι καὶ ἐν τῷ μέλλοντι καὶ παρὰ τῆς ἡμῶν μετριότητος, πῶς οὐκ ἐλέγχει ὑμᾶς μηδ' ὅλως | ἔννοιαν ἐσχηκότας ἢ ζωῆς μελλούσης ἢ τῆς 257
τῶν βεβιωμένων ἐτάσεως;

Ἀλλὰ ταῦτα μὲν τοιούτους ἀποφαίνει ὑμᾶς· σκοπῶμεν δὲ καὶ τὰ ἐπὶ τούτοις προσεξειργασμένα. ἀπηλάσατε τοῦ ποιμνίου ἡμᾶς· εἰ γὰρ καὶ βασιλεὺς τοῦτο πράττειν ἐδόκει, ἀλλ' ὑπουργὸς ἦν ἐκεῖνος τῆς ὑμῶν ἐπιτροπῆς καὶ τοῦ βουλήματος· αὐτοὶ γὰρ καὶ πρὸ ἐκείνου καὶ σὺν αὐτῷ τὴν καθ' ἡμῶν ἐπιβουλὴν ἐποιήσασθε. δῆλον δὲ καὶ ἐκ τῶν εἰρημένων καὶ ἐκ τούτου μᾶλλον. ἐν μεταγνώσει γὰρ τοῦ βασιλέως καταστάντος καὶ τοῦ μεγέθους τοῦ κακοῦ ταχέως αὐτὸν ἀναφρονῆσαι παρασκευάσαντος, ἐβουλεύσατο πάλιν ὅθεν κακῶς ἐξήλασεν ἐπαναγαγεῖν· καὶ γράμματι τοῦτο ἐδήλωσε καὶ ὅρκοις ἐβεβαίου τὸ δόξαν, ἀποστόλῳ χρησάμενος καὶ τοῦ γράμματος καὶ τῶν ὁρκίων διακόνῳ τῷ κατ' ἐκεῖνο καιροῦ τὸ δύνασθαι παρ' αὐτῷ λαχόντι. καὶ ἐπεὶ κοινωνοὺς ὑμᾶς τοῦ δόξαντος προσελάβετο, μίαν

7 παρὰ **Kh**: περὶ **C** || **10** χωρὶς **Kh**: χάριν **C** || **22** προσεξειργασμένα **Wk**: προεξ. **C** || **34** ὑμᾶς **Pk**: ἡμᾶς **C**

ἐρρήξατε φωνὴν καὶ ἠπειλήσατε ἦ μὴν ἅπαντας ἔσεσθαι φυγάδας καὶ ἀντὶ μητροπόλεων τὰς ἐρήμους οἰκήσειν, εἰ πρὸς ὑμᾶς διαπράξει τὸν πατριάρχην ἐπανελεύσεσθαι. ἀλλὰ τοιούτοις καλοῖς προοιμίοις προσεθήκατε καὶ ἃ προσειρήσεται· παραίτησιν ἀπῃτήσατε, καὶ τοῦ θεοῦ τοὺς λογισμοὺς ὑμῶν ματαιώσαντος οὐ παραίτησιν ἀλλ' ἀγχόνην ἐλάβετε. ἡμῶν γὰρ εἰπόντων ὡς ἐπεὶ παρανομεῖν οὐ δεδυνήμεθα (τίς γὰρ παρανομεῖν δυνατός, εἰ μὴ ἄθεος;) καὶ τὸ τοῦ Δαυὶδ ἐγγράφως ὁμολογησάντων, εἰ καὶ λέξεσιν ἑτέραις, 'ἐμίσησα ἐκκλησίαν πονηρευομένων καὶ μετὰ ἀσεβῶν οὐ μὴ καθίσω', αὐτοὶ ὡς ὄντως παραίτησιν περιχανόντες τοῖς γεγραμμένοις ἐπὶ μᾶλλον ἐξεβακχεύθητε πρὸς ἀπόνοιαν. καίτοι τίς παραίτησις ὑπερορίων ὄντων, κουστωδίας στρατιωτῶν φρουρούντων, ξιφῶν μικροῦ τοῖς αὐχέσιν ἡμῶν ἐπικειμένων, ἵνα τὴν ἄλλην συνοχὴν ἐάσω καὶ βίαν, ἐρημίαν τῶν συνόντων, συμψαλλόντων, συνομιλούντων, τῶν ἄλλως ὑπηρετούντων, ἃ κἂν οἱ τῆς πίστεως ἀλλότριοι συνεχώρησαν, εἰ ταῖς χερσὶν ἐκείνων ἐγκρατεῖς ἐγεγόνειμεν, καὶ τὸν λιμόν, τὴν ὑπὸ κρυμοῦ πῆξιν; αἰσχύνομαι λέγειν περὶ τῶν οὕτω πρὸς ἀφιλάνθρωπον γνώμην ἀποκλινάντων καὶ μόνην παραμυθίαν ἡμῶν τὴν ἐκ τῶν ἀχύρων θάλψιν παραλελοιπότων. οὕτως συγκε|κρότηται
258 *ἡμῖν ἥν φατε κατέχειν παραίτησιν· πλὴν καλὸν ἐπιμνησθῆναι ⟨τῶν⟩ ῥημάτων ἡμῶν· ἔχει γὰρ οὕτως.*

Παραίτησις. ''Επειδὴ πραγμάτων ἐναντιότητος καὶ δυσχερείας τὴν τοῦ θεοῦ καταλαβούσης ἐκκλησίαν εἰς τὸ

9–11 Ps. 25, 5 || **25**–p. 119,13 Vita Euthymii 14, p. 98, 13–19 (Byzantion 25–27, 1955–57)

8 *τίς* Wk: *καὶ* C || 9 *ὁμολογησάντων* Pk: *-ήσαντος* C || 14 *φρουρούντων*] *φρουρούσης* Pk || 24 *τῶν* Wk: om. C || 25–p. 119,13 accedunt Monac. gr. 277 ff. 331^{v}–332^{r} (= Mon.); Vita Euthymii (= Euth.) || 25 *παραίτησις* C: *⟨ἔ⟩γγραφος παραίτησις Νικολάου τοῦ ἁγιωτάτου πατριάρχου τοῦ Γαλακρινίτου μεθ' ἣν ἀποκατέστη αὖθις εἰς τὸν πατριαρχικὸν θρόνον. ⟨Ν⟩ικόλαος ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, μόνῃ χάριτι θείᾳ τὸ μέγα τοῦτο καὶ οὐράνιον δώρημα λαβὼν καὶ παρ' ἑαυτοῦ μηδέν τι προσενεγκάμενος ἄξιον* Mon.: om. Euth. | *ἐπειδὴ* C, Mon.: *ἐπειδήπερ* Euth. || 26 *καταλαβούσης* C, Mon.: *-βοῦσαν* Euth.

ἀδύνατον περιέστη τοῦ οἰκονομεῖν τι περὶ τὸν φιλόχριστον βασιλέα, τὸν θρόνον παραιτοῦμαι, τὴν κατ' ἐμαυτὸν ἰδίαν καὶ ἀνακεχωρημένην προτιμήσας ζωὴν τῆς ἐν πράγμασιν ἀστατοῦσιν ἀναστροφῆς, μήτε θείας ἐξιστάμενος ἀρχιερωσύνης μηδὲ τοῦ ἐπιτελεῖν πάντα ὅσα ἐνεργεῖν οἶδεν ἀρχιερωσύνη, ἐν ᾧ ἂν τόπῳ τὴν ταπεινὴν ἡμῶν παρελκύσωμεν ζωήν, εἰδότες ἀκίνδυνον οὐκ ὂν τὸ τὴν θείαν ὥσπερ ἀπαρεσκόμενον αὐτῇ ἀποπέμπεσθαι χάριν, ἄλλως τε δὲ καὶ τοῦ ἱεροῦ κανόνος τοὺς ἐξομοσαμένους τὴν ἐν ᾗ ἐτάχθησαν ἱερὰν λειτουργίαν, κἂν φόβος ὁ ἐξ ἀνθρώπων ᾖ ὁ πρὸς τοῦτο συνωθήσας, ἀπαραιτήτως καὶ συγγνώμης ἁπάσης χωρὶς καθαιροῦντος καὶ εἰς τὴν τῶν λαϊκῶν ἀπορρίπτοντος χώραν.'

Ὁρᾷς, μᾶλλον ὁρᾶτε, οἵα ὑμῖν ἐκ τῆς παραιτήσεως ὑπάρχει ἀσφάλεια, οἷα ὑμῖν τὰ δίκαια τῆς χειροθεσίας ἣν ὡς τῆς ἐκκλησίας προεστῶτες πεποίησθε; ἀλλ' ὄντως τυφλὸν ἡ μανία, ἣν οὐκ οἶδα πόθεν νενοσηκότες οὐδὲ τοῦτο ἐνιδεῖν ἠδυνήθητε, ὡς τῆς δοκούσης παραιτήσεως ἡμῖν πάντα φαμένης πράττειν ὅσα θέμις πράττειν τοῖς τὸν ἀρχιερατικὸν διέπουσι θρόνον ('ἐν ᾧ ἂν τόπῳ τὴν ταπεινὴν ἡμῶν ζωὴν παρελκύσωμεν'), ὡς ἐν τῇ παραδοχῇ ταύτης, ἀνθ' ἧς ἀπελαύνειν ἐφορείας ἐγνώκειτε, πάσης ἡμῖν ἐφορείας τό γε ὑμέτερον μέρος τὴν κυριότητα ἐνεχειρίσατε, καὶ τῆς Κωνσταντινουπόλεως ὑπερορίους ποιοῦντες πάσης

8–13 E. Schwartz, Acta conciliorum oecumenicorum 1, 1, 7 pp. 123, 24–124, 25

1 *περιέστη* C, Mon.: *-ην* Euth. | *τοῦ οἰκονομεῖν τι περὶ τὸν φιλόχριστον* C, Euth.: *τουτὶ περὶ τὸν φιλόχριστον οἰκονομῆσαι* Mon. || **2** *κατ'* C, Mon.: *καθ'* Euth. | *ἰδίαν* C, Mon.: *ἰδίᾳ* Euth. || **4** *ἀστατοῦσι(ν)* de Boor: *ἀναστατοῦσιν* C: *ἀστατούσης* Mon., Euth. | *ἀναστροφῆς* C, Mon.: *συναναστροφῆς* Euth. | *μήτε* C: *μὴ τῆς* Mon., Euth. || **4–5** *ἀρχιερωσύνης* C, Mon.: *ἱερωσύνης* Euth. || **5–6** *μηδὲ–ἀρχιερωσύνη* C, Mon.: om. Euth. || **5** *πάντα* C: om. Mon. | *ἐνεργεῖν οἶδεν* C: *οἶδεν ἐνεργεῖν* Mon. || **6** *ταπεινὴν* C, Euth.: om. Mon. || **7** *εἰδότες–13 χώραν* C, Mon.: om. Euth. || **8** *δὲ* C: om. Mon. || **10** *ὁ*² C: om. Mon. || **18** *ἡμῖν* Wk: *ὑμῖν* C || **23** *ὑμέτερον* Wk: *ἡμέτερον* C

ἐδίδοτε πόλεως ἐπικράτειαν. καλά γε ὑμῶν τὰ τῆς παραιτήσεως δίκαια, ἣν ὡς ἀκρόπολιν τῆς ὑμῶν τυραννίδος κατέχετε, ἐξ ἧς καὶ νομοθέται καὶ οἰκονόμοι πορνείας εἰς ὕβριν, ἵνα μὴ λέγω τοῦ ἱερατικοῦ πληρώματος, ἀλλὰ καὶ παντὸς τοῦ Χριστιανῶν γένους ἀναδειχθῆναι ἀπονενόησθε· πορνείας εἶπον, οὐ τοσοῦτον μόνον, ἀλλὰ καὶ πλέον πορνείας, ὡς τῷ θείῳ διδασκάλῳ καὶ τοῖς ἐκεῖνον μὴ παραλογιζομένοις δοκεῖ.

Τὰ μὲν οὖν ὑμέτερα, ἵνα μὴ ἐπὶ πλέον ὅσα κατὰ θεοῦ καὶ | τῶν νόμων αὐτοῦ κατωρχήσασθε διεξερχόμενος ὁ λόγος τοῖς ἐπιεικεστέροις καὶ τὸ καθ' ὑμῶν ἀνάπτοι δί-
259 *καιον μῖσος, μὴ πλείονος ἀξιούσθω μνήμης. καίτοι γε τῶν εἰρημένων οὐκ ἐλάττω ἀλλὰ μείζονα τὰ ὑμῖν μὲν ἐφεξῆς τετολμημένα, τῷ λόγῳ δὲ σιωπώμενα, ἕνεκα τοῦ μὴ τὸ δίκαιον μῖσος παρὰ τῶν εὐσεβούντων καθ' ὑμῶν τῶν ἀρίστων ἐξαφθῆναι δραματοποιῶν. τίς γὰρ τὴν ἄλλην πονηρίαν καὶ τὸ ψεῦδος καὶ τὴν ἀναισχυντίαν καὶ τὸν ὅλον ὑμῶν κατὰ τῆς ἐκκλησίας πολύτροπον καὶ ποικίλον τῆς κακίας ἀκούων ἀγῶνα, οὐκ εἰς ἔκπληξιν καθιστάμενος διὰ τὴν ὑπερβολὴν καὶ τὸ μηδέποτε τοιαῦτα κεκακουργῆσθαι πόρρω τῆς ἀνθρωπίνης καὶ διανοίας καὶ πράξεως ὑπολαμβάνει τὰ γεγενημένα ὑμῖν; ἵνα οὖν, ὅπερ ἔφην, μὴ διὰ ταῦτα τὸν {διὰ} τῶν ἀκουόντων θυμὸν ἀναφλέγῃ καθ' ὑμῶν ὁ λόγος ἐκδιηγούμενος, ἐκεῖνα παραλείψας τὴν τῶν ἱερῶν κανόνων ἀπόφασιν ἐπιφέρει καθ' ὑμῶν, καθ' ὧν καὶ τὴν τόλμαν καὶ τὸ θράσος ἀναλαβεῖν ἐνεανιεύσασθε.*

Κανὼν ιη̅ τῶν ἐν Χαλκηδόνι, οὗ ἡ ἀρχὴ ʽ Τὸ τῆς συνωμοσίας'.

Κανὼν ε̅ τῆς οἰκουμενικῆς ⟨α̅⟩ συνόδου, οὗ ἡ ἀρχὴ ʽ Περὶ τῶν ἀκοινωνήτων'.

6–8 Bas., Ep. 217, can. 80, PG 32, 805B1–2 || **27–28** Can. Chalced. 18 (Lauchert pp. 93, 28–94, 2) || **29–30** Can. Nicae. 5 (Lauchert p. 38, 11–27)

1 *καλά γε* C mg.: *ἀλλά γε* C txt. || **10** *αὐτοῦ* Wk: *-ῶν* C || **23** *διὰ* C: del. Wk || **29** *α̅*] *πρώτης* add. Pk: om. C

Κανὼν θ̄ τῆς ἐν Καρθαγένῃ συνόδου, οὗ ἡ ἀρχὴ ‛Τοῦτο ὁρίσαι καταξιώσατε’.

Κανὼν β̄ τῆς οἰκουμενικῆς δευτέρας συνόδου, οὗ ἡ ἀρχὴ ‛Τοὺς ὑπὲρ διοίκησιν ἐπισκόπους’.

Ἃ δὲ περὶ πορνείας ὥρισται καὶ τῶν ἐν τῷ μύσει τούτῳ μολυνομένων, τίς τῶν πάντων ἠγνόει, καὶ μὴ ὅτι τῶν λαχόντων ἱερᾶσθαι ἢ τῶν ὁπωσοῦν εἰς ἄνδρας τελούντων, ἀλλὰ καὶ τῶν ἔτι παιδικὴν σύνεσιν ἐχόντων;

Τοίνυν διὰ ταῦτα καὶ τὰ προειρημένα τοῖς θείοις καὶ ἱεροῖς ἑπόμενοι κανόσιν, ἀλγοῦντες μὲν καὶ σπαρασσόμενοι τὴν ψυχήν, ὅμως δὲ κατὰ τὴν ἱερὰν ψῆφον τὴν ἀπογυμνοῦσαν ὑμᾶς τῆς ἱερατικῆς τάξεως καὶ τιμῆς, ἧς φθάσαντες αὐτοὶ ἑαυτοὺς ἀπεγυμνώσατε, καὶ ἡ ἱερὰ αὕτη καὶ ὑπὲρ τῆς δόξης τῆς ἐκκλησίας τοὺς κινδύνους διενεγκοῦσα σύνοδος ποιεῖται τὴν ἀπόφασιν, καθαιροῦσα καὶ ἀλλοτριοῦσα ὑμᾶς πάσης ἀρχιερατικῆς καὶ ἐνεργείας καὶ δυνάμεως.

1–2 Can. Carthag. 9 (Rhalles-Potles 3, 316) || 3–4 Can. Constantinop. (a. 381) 2 (Lauchert p. 84, 16–25)

1 *Καρθαγένῃ* Pk: -ει C

76

260 Ἀρέθα ἀρχιεπισκόπου Καισαρείας Καππαδοκίας ἔλεγχος τῆς τῶν ἀρχιερέων μιαιφονίας

Respondet Arethas criminibus Nicolai (Op. 75). Alexandro iam mortuo (d. 6 Iul. 913) hunc libellum scriptum esse ex contumeliis in patriarcham iactis patet.

'Patriarcha, ut solent pessimi, culpam eorum quae ipse commisit in alios confert; nam procellam sua inscitia ortam fuga devitavit. ad solitam sibi luxuriam redeat, quandoquidem gubernator cuius culpa paene perierit navis, merito ab ea excludetur. ecclesiam quam in periculo dereliquerat nunc sua licentia conturbat. quippe patrum medicinam aspernatus, suis remediis nihil proficiens, temere saeviit in sacerdotes, iudicibus iis qui ipsi in ius vocari debebant, inter quos sedebat Aethiops turpi facie, turpi vita. sileo de ceteris iniuriis ex eo ortis, episcopis publicanorum arbitrio obnoxiis factis. quaecumque adversa evenerunt ipsius ignaviae imputanda sunt, non nostrae quam dicit coniurationi. si quid imperatori indulgere conabatur Nicolaus, morem ei gerebamus, sed Leo ipse canonibus artius adhaerebat. cum vero patriarcha officium abdicavisset, quid nobis faciendum erat nisi ut ecclesiae pastorem praeficeremus praefectoque in eo consilio perstaremus? nam ubi sunt istae epistulae Leonis quibus sibi sedem reddi asseverat? una quidem et ea verissima exstat, qua imperator eum ludibriis insectatur totius mundi episcopatum sibi arrogantem. at in istis quas profert epistulis ipsius Nicolai manus nimis aperte deprehenditur; neque ut genuinae essent, quicquam Nicolao prodessent, quia episcopis officio semel abdicato nullus reditus patet, id quod docet Martyrii episcopi Antiocheni exemplum. quod denique laqueum se nobis, hoc est ecclesiae, iniecisse gloriatur, id a Pauli exemplo et doctrina plane alienum est; verius tamen sibi ipsi iniecit,

1–2 *ἔλεγχος τοῦτο ἐφ' οἷς ὁ τῆς Ἑνώσεως τόμος ἐφεξῆς συνετάγη* C mg.

76 C – Pk pp. 260–266; Kh pp. 756–771

ignorantiam canonum confessus et decreto concilii Ephesini ob relictam sedem damnatus. de sede Constantinopolitana decedens, apud quam ius et arbitrium est omnium sedum dicioni eius subditarum, nihil sibi reliquit, nedum totum mundum.'

Ἔθος ἐστὶ τοῖς μοχθηροτάτοις ἀνθρώπων τὰ τῶν κακῶς αὐτοῖς πεπραγματευμένων ἐγκλήματα εἰς τοὺς παθόντας περιτρέπειν ἐπείγεσθαι, ὡς ἂν αὐτοί τε μὴ δόξωσι κατεγνωσμένως προσενηνέχθαι τοῖς πράγμασι καὶ τοῖς ἐκ τούτων τῇ βλάβῃ περιπαρεῖσι τὸ σὺν δίκῃ παθεῖν ὑπὸ τῶν ἄλλων προσνέμοιτο. τοιοῦτό τι καὶ νῦν ὁ ἀρχιερεὺς οὗτος ὁ μέγας, ὁ τοὺς οὐρανοὺς τῇ καθαριότητι παρεληλυθὼς καὶ τῶν τοῦ θεοῦ ἀδύτων τὴν γνῶσιν μεμυημένος, βεβούλευται· ἀσυνέτως γὰρ τοῖς προσπεσοῦσι τῶν πραγμάτων χρησάμενος καὶ σάλον καὶ κλύδωνα τῇ τοῦ θεοῦ ἐκκλησίᾳ πραγματευσάμενος οὐ μόνον οὐκ ἐγκαλύπτεται τούτοις καὶ τὴν ἐκ μεταμελείας ὑπόπτωσιν ἐξαιτεῖ, ἀλλά γε δὴ καὶ δικαιολογίας ἐκ θράσους προβάλλεται, αἳ τοσοῦτον αὐτῷ τὸ βούλημα κατανύουσιν ὅσον καὶ τοῖς πρὸς πέτραν τῇ πέτρᾳ μὲν οἰηθεῖσι λυμήνασθαι, παθοῦσι δ' ὅπερ εἰκὸς τοῖς πρὸς πέτραν κυρίττουσιν· οἳ δὴ τοῦ πάθους μικρὸν ἀνενεγκόντες καὶ τὴν συμφορὰν ἐπεγνωκότες αὑτοῖς μὲν οὐκ ἂν ἠθέλησαν μέμψασθαι, τοῖς περιεστηκόσι δὲ τὴν πέτραν τὴν σφῶν αὐτῶν ἐμπληξίαν ἀνέθεσαν. παρόμοιον τούτῳ καὶ ὁ θαυμαστὸς οὗτος διειργασμένος ἀρχιερεὺς καὶ τούτοις τι παραπλήσιον πεπονθώς, ἀφεὶς τὸ ἑαυτὸν αἰτιᾶσθαι, ὁ δὲ λαμπρᾷ νῦν εἰ καὶ τολμηρᾷ τραγῳδεῖ τῇ φωνῇ 'υἱοὺς ἐγέννησα καὶ ὕψωσα, αὐτοὶ δέ με ἠθέτησαν'. καὶ πρῶτον μὲν τὴν ἐκκλησίαν τοῦτό φησιν ἐκβοᾶν, εἶτα κἀκεῖνον ἐξιδιαζόμενον ὡς τῆς ἐκκλησίας δῆθεν κατάρχοντα συναγανακτεῖν αὐτῇ καθ' ἡμῶν τὰ αὐτά, ἅτε δήπουθεν ἡμῶν οὕτως αὐτὸν μετελθόντων.

6–7 cf. Heb. 4, 14 || 22–23 Is. 1, 2; supra p. 115, 3

5 *περιπαρεῖσι* Kurtz: *περισπαρεῖσι* C || 16 *ἀνενεγκόντες* Pk: *ἀνεγκόντες* C || 19 *ἐμπληξίαν* Wk: *ἐκπληξίαν* C

Ἀλλ' ὦ μακαριώτατε ἀρχιερέων καὶ τῶν πώποτε φανέντων ὁ συνετώτατος, κενήν σοί φασι ψάλλειν περιγέγονε τούτοις. μάλιστα γὰρ ἂν δικαιότερον κατὰ σοῦ ταῦτα ἡ τοῦ θεοῦ ἀποδύραιτο ἐκκλησία, γεννησαμένη σε μὲν οὔ (πόθεν γὰρ ἢ πῶς οἱ ἀρχηγέται σοι τῆς γονῆς καὶ πρός γε τούτοις ἡ γένεσις, σιωπᾶν ἄμεινον), ὑψώσασα δέ, ὡς
261 *εἴθε μὴ | ὤφειλε, δαλόν σε μετάρσιον ἄρασα, οὐχὶ πυρσεύειν εἰδότα, τῷ δὲ περιλύπῳ καπνῷ τὰ τέκνα ταύτης συμπνίγοντα· καὶ βοῦν σε κτησαμένη, — καλὸν γὰρ ἅμα τὰ περὶ τούτων τῆς προφητείας ἀναπληροῦν, ὁμοιοτάτῳ σοι κεχρημένους τῷ ὑποδείγματι, — βοῦν σε τοιγαροῦν κτησαμένη, ἐφ' ᾧ τὰ πρὸς τροφὴν τῷ ἑαυτοῦ κατεργάσασθαι κυρίῳ (θεὸς δὲ ζῶν οὗτος τὴν σωτηρίαν τῶν ἀνθρώπων σιτούμενος, ὁ καὶ τὴν ἐκκλησίαν τῷ ἑαυτοῦ συναγαγὼν αἵματι), οὐ μόνον οὐδέν σοι τούτων ἀπώνατο ὧν τοῖς τοῦ θεοῦ ἐποφείλεται ἀρχιερεῦσιν, ἀλλὰ καὶ σάλου μικροῦ καὶ χειμῶνος ἐνστάντος, οὗ (τὸ παραλογώτατον) οὐκ ἄλλος οὐδεὶς ὅτι μὴ σὺ ὁ δημιουργός, ἀσυνέτως μὲν τῶν ἱερῶν ἔχων κανόνων, ἀσυμβούλως δὲ μετακεχειρισμένος τὰ πράγματα, οὐκ ἀπεδύσω πρὸς τὸν ἀγῶνα, οὐ πρὸς τὸν κλύδωνα παρεσκευάσω, οὐκ ἐννήξασθαι τοῖς κύμασιν ἐκαρτέρησας, οὐ τῶν ποιμέσιν ἀνακειμένων μόχθων μετέλαβες· φιλοψυχήσας δὲ κατὰ τὸ καταγέλαστον ἄγαν ἠθέτησας μὲν τὴν γεννήσασαν, ἠγνόησας δὲ τὸν κτησάμενον, καὶ τὸν μὲν κύριον ἐγκατέλιπες, τὸν δὲ τοῦ νέου Ἰσραὴλ παρώργισας ἅγιον.*

Οὐκ ἀποφθερῇ τοιγαροῦν, πολυτίμητε, ἐπὶ τὰς συνήθεις σου διατριβάς, οὗ κροκωτοὶ μὲν καὶ μύρα καὶ ὁ ἄλλος σοι πᾶς τῶν τοιούτων εὐκατάγνωστος λῆρος καὶ τὸ τοῦ ἤθους θῆλυ μετὰ Σαρδαναπάλου καὶ Μινδυρίδου τὴν δίαιταν προὐμηθεύσατο, ἀλλ' ἐκκλησίᾳ θεοῦ ἐνοχλήσεις καὶ παρρησιάσαι ἀπερυθριάσεις ἃ σιγηθῆναί σοι συνήνεγκεν ἄν; εἰ μὴ

2 CPG II 178 || **9–12** Is. 1, 3 || **24–26** Is. 1, 4

19 *ἔχων* Kurtz: *ἐχόντων* C || **27** *ἀποφθερῇ* Kurtz: *ἀποφθαρῇ* C || **28** *οὗ* Kurtz: *οὐ* C || **32** *ἀπερυθριάσεις* Pk: *ἅπερ ὑθριάσεις* C

καὶ προσέτι ἑαυτὸν δικαιώσας τὰς κατ' οὐδέν σοι προσηκούσας φωνὰς διὰ στόματος ἀναλαμβάνεις καὶ τὰ τοῦ θεοῦ ἐκδιηγῇ δικαιώματα καὶ τὴν κανόνων παιδείαν οὐ μᾶλλον μισήσας ἢ ἀγνοήσας τοὺς θείους λόγους ἐκβάλλεις εἰς τὰ ὀπίσω. εἰ γὰρ ἀρχιερεὺς ἐχρημάτιζες, τί σοι μὴ στῆναι ἱεροπρεπῶς καὶ γενναίως, ἀλλὰ μαλακισθέντι βεβήλως τε καὶ ἀπίστως ἐν τῷ καιρῷ τῶν πειρασμῶν ἀποστῆναι αἰσχρῶς μάλα καὶ ἀλυσιτελῶς ἑαυτῷ, ἐῶ γὰρ λέγειν καὶ τῆς ἐκκλησίας τοῦ θεοῦ εἰς σκάνδαλον; ἐπεὶ καὶ κυβερνήτην ἐκεῖνόν φαμεν ἄξιον τοῦ ὀνόματος, τὸν πρὸς τὴν ζάλην εὐρώστως ἐπαρκοῦντα καὶ τὴν ναῦν ὑψη¦λοτέραν 262
παρασκευάζοντα τοῦ κύματος φέρεσθαι, ὡς ὅς γε χειμῶνος ἐλπιζομένου προαποκαμὼν τοῦ κλύδωνος ὑπεκστῇ τῶν οἰάκων, ἐβάπτισέ τε τὸ μέρος τὴν ναῦν καὶ περιγενομένη οὐκέτι μετὸν αὐτῷ ταύτῃ πλωΐζεσθαι. ἀπειρηκὼς τοιγαροῦν καὶ αὐτὸς καὶ ὑπεξαγαγὼν σεαυτὸν τῶν πνευματικῶν πόνων, ῥᾳστώνῃ πάντως καὶ τῇ δι' ἔθους ἡδυπαθείᾳ, τί νῦν ἐκείνων ἀντιποιῇ ὧν τό γε σὸν οὐδ' ὅλως πεφροντικὼς ἐσχάτῳ περιβέβληκας ὀλέθρῳ; οὐκ οἶδα πότερον τὴν ὑψώσασαν ἀμυνόμενος τῆς τιμῆς ἢ τὸν ἐξ ἀφανείας παραγαγόντα βασιλέα πικρᾷ τε καὶ πονηρᾷ προπόσει ταύτῃ φιλοφρονούμενος.

Τί τοίνυν μεγάλαυχος γεγονὼς ἀναφθέγγῃ ἃ πολὺ δραστικώτερον κατὰ σοῦ ἢ καθ' ὧν ταῦτα τεχνάζῃ λεχθείη; ἢ πάντως ἐκεῖνο, ἵνα κἂν τούτοις τὸ σφαλερὸν ὑμῶν καὶ ἀνεπίγνωμον ἐκφανθείη οὐχ ἧττον ἤπερ ἐν οἷς τὸ δικαίωμα τῆς ἀοιδίμου (σοί φημι) πορνείας ἑαυτῷ κατασκευάζεις, μήτε περὶ ὧν εἰδὼς διαβεβαιοῖ μήθ' ἃ λέγεις ἀκαταγνώστως φθεγγόμενος· ἀνθ' ὧν οὐχ ὅπως ἡ ἐκκλησία σοι τὸ 'υἱὸν ἐγέννησα καὶ ὕψωσα' ἐπιτετευγμένως

2–5 Ps. 49, 16–17

5 *τί σοι* Pk: *τίσι* C || **12** *ὅς γε* Wk (cf. supra p. 106, 11): *ὅτε* C || **14** *περιγενομένη* Kurtz: *-νην* Pk: *-νη* C || **18** *τό γε* Pk: *τότε* C || **24** *καθ' ὧν* Pk: *καθῶνος* C || **26** *ἤπερ* Pk: *εἴπερ* C || **30** *ἐπιτετευγμένως* Kurtz: *ἐπιτεταγμένως* C

ἐρεῖ, πολλῷ δὲ μᾶλλον τὸ ʽ Δημᾶς με' καὶ νῦν καὶ πρότερον ʽ ἐγκατέλιπεν, ἀγαπήσας τὸν νῦν αἰῶνα'. οὔτε γὰρ πρώην ὡς ποιμὴν ἀληθὴς τὴν ψυχὴν τῶν προβάτων προτέθεικας οὔτε νῦν ἀξίως τῆς ἱερᾶς ἁγιστείας προβέβλησαι, ἀλλὰ προκόψας ἐπὶ τὸ χεῖρον καὶ τῇ κοσμικῇ ἐνδυναμωθεὶς ματαιότητι πολὺν μὲν καὶ πικρὸν ἐπιβάλλεις τῇ ἐκκλησίᾳ τὸν σάλον, πράγματος δὲ ἀνευρέσει οὐ γῆς, τὸ ᾀδόμενον, οὐκ οὐρανοῦ ἁπτομένου τὴν τραγῳδίαν ὑπέθου· καὶ διαδραματουργήσας σκαιῷ τινὶ καὶ κατὰ σαυτοῦ τρόπῳ (ἐπίστανται ταῦτα ὅσοι τε καὶ βασιλέως τῶν ἀπορρήτων μετέχοντες), εἶτα πρὸς τὸ πέρας τὰ τῆς σκηνῆς διαθέσθαι ἀμηχανήσας, ἔλαφος ἡμῖν, ὡς τὸ λόγιον, ἥκεις ἀντὶ παρθένου, τῶν πάλαι πατέρων μηδὲ τοῦτο καταλιπόντων τὸ ψυχικὸν ἕλκος ἀτημελές, ἀλλὰ καὶ τοῖς καταλλήλοις ἐμπλάστροις τῇ ἀσθενείᾳ τῆς φύσεως ἰατρευσάντων, αὐτὸς οὗτος, ὦ μακάριε σύ, ὑπερβολῇ σοφίας, ὡς ἔοικεν, ἄνω
263 *τε χωρεῖς ποταμῶν (τὸ παροιμιῶδες) καὶ πλέον ἐκεί|νων καὶ τὸ πνευματικώτερον φέρῃ τὸν τοῦ κυρίου κλῆρον καταρτιζόμενος. ἐντεῦθεν ἀδιάκριτοί τε καὶ ἄκριτοι τῶν ἱερέων ἐκβολαί τε καὶ καθαιρέσεις ὑπὸ κριταῖς (ὦ δίκη καὶ νόμοι καὶ ἱεραὶ σύνοδοι πατέρων) οἷς δίκην ἡμῖν λαγχάνουσι ταυτηνὶ ἄλλους δικάζειν ἔδει καὶ διαιτᾶν ἀμφοτέροις, οὐχὶ τοὺς διαφόρους τοῖς ἀντιδίκοις τὰ Θέμιδος ζυγὰ ταλαντεύεσθαι· καὶ τό γε βαρύτερον καὶ ἀνύποιστον, Αἰθίοψ τοῖς παρανόμοις κριταῖς συνεδρεύων, Αἰθίοψ αἰσχρὸς μὲν τὸ εἶδος, αἰσχρότερος δὲ τὸν βίον, ὡς οἷς ἐπιμελὲς τὰ τοιαῦτα διαγορεύουσιν. ἐντεῦθεν αἱ τῶν ἀνάγνων εἰς τὰ τῶν ἁγνῶν τοῦ θεοῦ ἄδυτα ἐπιβάσεις, Σίμωνος αὖθις μυσταγωγοῦντος καὶ Πέτρου σιγῶντος, ὅτι παρρησιαζομένην ἀκαθαρσίαν ὁρᾷ, παρ' ὅσον καὶ ὁ κατάπτυστος οὗτος Αἰθίοψ ἀδοκιμάστως εἰς χάριν τῶν δεδιηκονημένων θεοῦ τῷ βήματι*

1–2 2Tim. 4, 10 || **3** Io. 10, 11 || **5** 2Tim. 3, 13 || **7–8** CPG I 444 || **16–17** CPG I 47; II 96

9 *σαυτοῦ*] *-ὸν* Kurtz || **10** *τε* del.? *γε* Kurtz || **12** *ἀμηχάνησας* C || **20** *ὑπὸ κριταῖς* Pk: *ὑποκριταῖς* C

δίδοται. παρίημι τὰς τῶν ἄλλων κατὰ τῶν ἁγίων, ἀληθέστερόν σου φάναι, ὑμῶν κατορχήσεις, ὑφ' αἷς ἐξάρχων προαγωγαὶ τὴν ἱερωσύνην φορολογοῦσαι, ἄλλοι τε τούτοις ἐπιπεμπόμενοι μιαροὶ καὶ δυσώδεις, μονονοὺ καὶ κινάβρας ἀπόζοντες, ὡς ἂν ἐκκαρπῶνται τὰ ἱερὰ καὶ τοῖς ἐκπέμπουσι δασμοφορῶνται εἰς πλήρωσιν οἴκων ἀνομιῶν τῶν ἐσκοτισμένων τῆς γῆς συμφορούμενα.

Τοιαῦτα αἱ μέχρι χειλέων καθαριότητες ἐκπαιδεύουσιν, αἱ σεμνύνεσθαι μὲν λόγῳ παντὸς μεγαληγορώταται, ἔργῳ δὲ ἐπιδείξασθαι τῶν πώποτε λαλουμένων αἱ ἀπορώταται, καὶ πόρρω μὲν τῶν δεινῶν καὶ προσδοκωμένων αἱ ἀνδρειόταται, παρόντων δὲ καὶ ἀνερχομένων οὐκ ἔστιν εἰπεῖν οὕτινος οὐ δειλότεραι. οἷόν τι καὶ περὶ τὴν σὴν ἁγιότητα συνηνέχθη· στερρότατα πάντα γὰρ ὑποίσειν διατεινόμενος ἃ καὶ συγκρούσει τῷ ἐξ ἀπονοίας ὑμῖν κλύδωνι ἐκπεφυσημένῳ καὶ τὸν κυκεῶ ἥδιον σπάσαι φιλοτησίας ὃν τοῦ ἄγγους τῆς ἀμαθίας ἐκχέας τὴν κύλικα τῆς ἐκκλησίας ἐπλήρωσας, τῆς πείρας ἐνστάσης φροῦδα μὲν ἅπαντα, λόγος δ' ἄλλως τὸ φρόνημα εὐπρεπής, τὰς τῶν ἀκροατῶν ἀκοὰς ὑπαγόμενος. δείσας οὖν περὶ σεαυτῷ καὶ τῇ τοῦ βίου τερπνότητι ἀφῆκας τῷ σάλῳ τὴν ἐκκλησίαν, ὥστε οὐ μόνον οὐ τὴν ψυχὴν τέθεικας ὑπὲρ τῶν προβάτων ποιμένος ἀληθινοῦ μετερχόμε|νος ἔργον, ἀλλὰ καὶ τὸν λύκον τυχὸν θεωρήσας 264 *ἐρχόμενον μεθῆκας τὰ πρόβατα καὶ τό γε σὸν χρήσασθαι τούτοις τῷ λύκῳ, ὅτανπερ καὶ βούλοιτο. οὕτως, ὦ γενναῖε σὺ καὶ μεγαλόφρον, ῥίψασπις καὶ φυγὰς ἀναπέφηνας, καὶ λειποστρατίου πνευματικοῦ ἁλισκόμενος· ἀφ' οὗπερ εἴ τι καὶ γέγονε, σὸν τοῦτο, ἀλλ' οὐκ ἐκείνων ἁμάρτημα ὧν ἀλογίστως καταιτιᾷ, συνωμοσίας τούτων καθ' ἑαυτοῦ καὶ φατρίας τερατευόμενος, αὐτὸς τῷ ὄντι μετὰ τῶν ἀθλίων τοῦ τιμίου σώματος ἀπορρηγμάτων τῷ*

1–2 supra p. 120, 9–10 || **6–7** Ps. 73, 20 || **21–25** Io. 10, 11–12

4 *κινάβρας* Pk: *κιναίρας* C || **14** post *στερρότατα* dist. C (cf. p. 160, 30; 171, 14) || **16** *ἥδιον* (sic) C (*ἴδιον* male Pk) || **19** *ἄλλως* Wk: *-ος* C || **24** *καὶ* del.?

τοιούτῳ κακῷ ἐνεχόμενος. οὐκ ἂν γὰρ ἀπροσίτους καθιστᾶτε ἑαυτοὺς τοῖς ἐλέγχοις καὶ τοῦ λαβεῖν τε καὶ δοῦναι λόγον ἐφ' ὧν μελαγχολᾶτε πρεσβεύειν ἐδραπετεύετε, εἰ μὴ τὸν ἀπὸ τῆς συνωμοσίας τε καὶ φατρίας συνασπισμὸν ταύτῃ διαρραγῆναι ὑπετοπάζετε, λόγων ἀνανταγωνίστων δυνάμει τῆς φάλαγγος ὑμῖν διασπασθησομένης καὶ τῶν ὅρκων διαρρυησομένων τῷ μηδένα λόγον ἔχειν ὑμᾶς τῇ μανιώδει ἐνστάσει συνήγορον. ἢ παράσχετε προσελθόντες, καὶ νενικήκατε ὑμεῖς, ἐναντία δ' ἡμεῖς, καὶ τούτων καὶ οὕτινος ἄλλου δεινοῦ προτεθύμησθε.

Οὔκουν, πανάγαστε ἀρχιερεῦ, ἐνδίκως ὑμῖν ἐνδιαβαλλόμεθα· οὐ γὰρ συνομωμόκαμεν καθ' ὑμῶν, οὐ καταλελοίπαμεν· ἀλλ' εἴ τι καταλιπεῖν λοιδορούμεθα, τὴν ὡς βασιλέα τραπέσθαι τείνουσαν διεγνωκότες, σοὶ τὸ πᾶν μεθιστάμεθα· χρηστότερον γάρ τι διαγενέσθαι βασιλεῖ τοῖς πρὸς ὑμᾶς, ὡς οἶσθα, διωμολογημένοις τοῦ πάντῃ σκληροῦ τε καὶ ἀτεράμονος ὑποβάντες, ὅτι μηδὲ κανονικὴν τοῦτο ψῆφον κατελαμβάνομεν, μεθιστάμεθα, ὑμῖν δηλαδὴ φερόμενοι κατὰ νοῦν, ἔτι σοι τότε τὰ πρὸς βασιλέα εὐμενέστερον ἔχοντι καὶ τὰς τῆς ἐκκλησίας αὐτῷ πύλας θερμότερον ὑπανοίγοντι, εἰ καὶ μὴ οὗτος ὑπεῖκε τῇ παρακλήσει κανονικωτέρως τὸ τελεσθὲν ἐπ' αὐτῷ μεταχειριζόμενος. ἐπεὶ ⟨δ'⟩ οὐκ οἶδα τί παθὼν αὐτὸς αὖθις πρύμναν ἀνεκρούου καὶ μετεμάνθανες ἀντὶ τῶν τέως χρηστοτέρων τε καὶ εὐμενεστέρων τὰ ἀπηνέστερα καὶ ἀσυμπαθῆ, οὔτε κανόσι βουλόμενος ἕπεσθαι, οὐ Χριστιανῶν παραδόσει καὶ συνηθείᾳ τῇ περὶ τῶν τοιούτων ὑπενδιδούς, ἡμῖν μὲν οὐκ ἐγκαταλιπεῖν ἐξεγένετο τὸν ποιμένα, αὐτὸς δ' ὁ ποιμὴν τὰ
265 *πρόβατα καταλέλοιπας, ἐλεεινὸν τοῦτο δρῶν καὶ | τῶν Χριστοῦ ἀρχιερέων ἀλλότριον, παραίτησιν (φεῦ τῆς ἀναλγησίας καὶ τοῦ πρὸς τὴν ποίμνην ἀσυμπαθοῦς) ἐπιδεδω-*

23 CPG II 623

1–2 *καθιστᾶτε* Kurtz: *-ῆτε* C ‖ **7** *ἔχειν* Pk: *ἔχ$\overset{\omega}{\text{ο}}$ν* C | *ὑμᾶς* Kurtz: *ἡμᾶς* C ‖ **8** *παράσχετε* Wk: *παρέσχετε* C (sign. interrog. post *προτεθύμησθε*) ‖ **23** *δ'* Wk: om. C

κώς. ἀλλ' οὕτως σοι τῶν πραγμάτων προκεχωρηκότων τί ποιεῖν ἡμᾶς ἔδει, ὦ πρὸς τῆς εἰρήνης αὐτῆς καὶ ἀληθείας; ἀποιμάντους οὕτω διάγειν καὶ ἡγεμόνος χηρεύειν τὴν ἐκκλησίαν; ἀλλ' οὔπω τοῦτο καὶ νῦν συνοδικῶς κέκριται, οὐδὲ τῇ ἐν Ἐφέσῳ συνόδῳ Κυρίλλῳ συγκροτουμένῃ τῷ ἱερῷ, ὃς τὸ ποίμνιόν φησι τοῦ Χριστοῦ οὐκ εἶναι εἰκὸς ἐκτὸς προστάτου διατελεῖν.

Ἐπεὶ δὲ πάλιν τῷ ἀσταθμήτῳ τοῦ ἤθους τῆς παραιτήσεως κατολιγωρήσας ἀντείχου τοῦ θρόνου καὶ βασιλέα φάσκεις μετεγνωκότα πρόθυμον εἶναι τῇ ποίμνῃ σε αὖθις ἀποκαθιστᾶν, εἰ μὴ τὰ παρ' ἡμῶν σοι προσίστατο, οὐκ ἔχω τί τούτου ψευδέστερον διανοηθῆναι, καὶ εἰ μυρίαι ὑμῖν βασιλέως ἐπιστολαὶ διαπραγματεύοιντο τὸ ψεῦδος, ἐπὰν ἀληθεστάτη βασιλέως ἐπιστολὴ πρὸς ὑμᾶς φέρηται τὸ τελειότατον τῆς παραιτήσεως διαπαίζουσα, ὅ φησι μεγαλοφρόνως μὲν ἀφρονεστάτως δὲ μάλα τῇ παραιτήσει τοῦ θρόνου τῆς οἰκουμένης προκεχειρίσθαι ἀρχιερέα. ἐπιτωθάζων σε γὰρ τοῦ τοσούτου παραλόγου (οὕτως ἐκεῖνος περιδέξιος τὰ τοιαῦτα καὶ γνώμης ὀξύτητι διακωμῳδῆσαι τὸ ἄτοπον) τί φησιν; ‘ἔχεις τὴν ἐξουσίαν; οὐκ ἂν ἐμφρόνως ἀλύοις ὡς δήπου παρῃτημένος. ἀλλὰ μὴν ἀλύεις, ἐπεί τοί γε παρῃτήσω· πῶς οὖν ἔχειν καὶ κυριώτερον ἤδη διανοῇ;’ οὕτως μὲν οὖν βασιλεύς· φωράσομεν δὲ καὶ ἡμεῖς λιπαρώτερον προϊόντες, κἂν νῦν βασιλεὺς ταῖς οὐδαμῶς προκεχωρηκυίαις ἐπιστολαῖς συκοφαντῆται· τοῦτο γὰρ ὑποβάλλειν λέγεται τοῖς τὴν σύνεσιν νωθεστέροις τὰ τῆς χειρὸς ὑμῶν σύμβολα, οὕτως τοῖς ἐκείνου ἐκ τῶν γραμμάτων ἐπηρεάζειν, κλεπτούσης τῆς ὁμοιότητος τὸ σκεύωρημα. ἄλλως τε δὲ καὶ εἰ μετέμελε βασιλεύς, τίνος αὐτῷ οἵου τε ὄντος τὸν μετάμελον ἀνασώσασθαι ἴσως ἐκεῖνος ἂν ἠγνόει ὃς ἠγνόει τὴν Μαρτυρίου τοῦ πάνυ ἐπὶ τῶν

5–7 E. Schwartz, Acta conciliorum oecumenicorum 1, 1, 7 p. 124, 8–9 || **9–10** supra p. 117, 27–33 || **31**—p. 130, 4 Theodorus Lector I 20, PG 86, 176 A5–177A5 Theophanes p. 113,17–114,4 de Boor

2 *ὦ* Wk: *τῷ* C || **21** *ἀλύοις* Wk: *-εις* C || **22** *ἔχειν* Wk: *-εις* C

ἄρτι σοι πραγματευομένων ταὐτότητα· ὅς Ἀντιοχείας τῆς πρὸς Ὀρόντῃ ἐπίσκοπος καταστάς, εἶτα παραίτησιν ἐπιδούς, πολὺς μὲν ἐγεγόνει τοῦ ἀντικαταστάντος ἤδη ἀποιχομένου αὖθις ἐπανελθεῖν, τετύχηκε δ' οὐ τοῦ σκοποῦ.

266 *Ταύτῃ μὲν οὖν ὁ | πεπλασμένος μετάμελος· τῷ ὄντι γὰρ οὔτε μετεμέλησε βασιλεύς, ἐπεὶ μηδέ τινα ᾔδει τὸν ἱκανῶς ἔχοντα τούτῳ τὸν μετάμελον συμπεράνασθαι. ἐπεὶ δὲ τοσούτοις συμπεριενεχθείς, σοφώτατε, τοῖς ἀτόποις οὐκ ἀποκνεῖς ἔτι καὶ βρόχον ἡμῖν τεκτήνασθαι τὴν παραίτησιν βρενθυόμενος, ὦ μακάριος σὺ τῆς δολιογνωμοσύνης· ἀλλ' οὖν ἐρήσομαί σε, 'βρόχον τῇ ἐκκλησίᾳ κατείργασαι;' καλῶς σὺ ποιῶν καὶ τῆς ἀποστολικῆς ἐγγύτατα προνοίας, καὶ ταῦτα Παύλου, καίτοι παρθενίαν νομοθετοῦντος, τάδε παρεγγυῶντος· 'τοῦτο δὲ λέγω' φησὶ 'πρὸς τὸ ὑμῶν αὐτῶν συμφέρον, οὐχ ἵνα βρόχον ὑμῖν ἐπιβάλω'. ὁ δ' ἀκριβέστερος Παύλου τὰ θεῖα καὶ γνώμην αὐτοῦ συνετώτερος βρόχον τῷ ἱερῷ διαπλέκεις ποιμνίῳ· τοῦ ἱερωτάτου καὶ φιλοτέκνου καυχήματος. πλὴν φιλαλήθως εἰπεῖν βρόχον μὲν ἀλλ' ἑαυτῷ κατειργάσω, ὅτι μηδ' ὁ τῶν ἀποστόλων ἀποσκιρτήσας τοῖς ἀποστόλοις ἀλλ' ἑαυτῷ τὸν βρόχον εἰργάσατο, οὐχ ὁ τὴν παγίδα κρύψας τοῦ συλλαβεῖν πόδας τῶν πέλας τοὺς ἑαυτοῦ δέ. τίνα δὲ καὶ βρόχον ἡμῖν ἡ ἀοίδιμος αὕτη ὑμῶν προσπορίζει παραίτησις; τοῖς ἐπιβεβουλευμένοις μὲν πολλὰ διερευνησάμενος εὗρον οὐδένα, τῷ δὲ τεκτηναμένῳ, πρῶτον μὲν ἀμάθειαν αὐτοῦ τῶν ἱερῶν ἐμφανίζουσα κανόνων, πρὸς τούτῳ καὶ ἀντὶ παντὸς ἐγκλήματος προϊοῦσα, εἴ γε πιστευτέον τῇ ἱερᾷ τρίτῃ καὶ θείᾳ συνόδῳ αὐτὸ τοῦτο ἐπ' Εὐσταθίῳ δικαιωσάσῃ, παύει κορύζης τὸν διαπλέξαντα.*

Ἀλλὰ γὰρ ἐπαγομένῳ τὴν ἱερὰν ἄγκυραν, ἣ τῆς οἰκουμένης ἁπάσης σοι μνηστεύεται τὴν ἐξουσίαν, ἐκεῖνο εἰπεῖν

8–10 supra p. 118, 5–7 || **13–15** 1Cor. 7, 35 || **19–21** Mt. 27, 5 || **21–22** cf. Ps. 9, 15 || **27–28** E. Schwartz, op. cit., pp. 123, 24–124, 25 || **30** CPG I 256; II 118

4 *ἐπανελθεῖν* Wk: *-ών* C || **18** *φιλοτέκνου* Wk: *φιλοτέχνου* C | *εἰπεῖν* Wk: *-ὼν* C

ἀναγκαῖον· ἀγνόημα τοῦτο οἷον, σοφώτατε, ἀγνοεῖς, νέννους (φασί) παίζων τῇ συνετῇ ταύτῃ σου διατάξει καὶ γέλωτα τοῖς ἔμφροσιν ὀφλισκάνων, εἴπερ σοφὸς εἶναι τὰ θεῖα βουλόμενος καὶ τοῦτο μετὰ τῶν λοιπῶν ἀμαθαίνεις. οὐ δήπου γάρ τις τῶν ἱερέων ἀγνοεῖ ὡς ὁ τῆς Κωνσταντινουπόλεως θρόνος ἓν τοῦτο προνόμιον κέκτηται, τὸ πάσῃ τῇ κατ' αὐτὸν ἀρχιερατικῇ καθέδρᾳ χρῆσθαι κατ' ἐξουσίαν· ὃν θρόνον παρῃτημένος αὐτὸς καὶ διὰ τοῦτο τῆς ἐξουσίας ταύτης αὑτὸν παρελόμενος, θαυμάζω πῶς τοῦτό σοι σωφρονοῦντι ἐπὶ νοῦν ἔπεισι διατείνεσθαι καὶ τῇ τῆς ἐξουσίας φάσκειν ἀποβολῇ τὴν ἐξουσίαν ἀνειληφέναι.

4 *ἀμαθαίνεις* **Wk:** *ἀνάθαίνεις* **C || 5** *ἱερέων* **Pk:** *ἱερῶν* **C || 11 sequitur Op. 71 in C**

77

Τοῦ αὐτοῦ τοῖς κατὰ Νικόλαον μητροπολίταις τὸν πατριάρχην, παραιτήσασθαι βιαζομένοις

Nicolaitis poscentibus ut sede Caesariensi cedat respondet primo se ea re cedere non posse quae decreto patriarchae et manu imperatoris (Alexandri) iamdudum sibi erepta sit; secundo, si etiamnunc sedem obtinere eis videatur, se quidem invitis canonibus non abdicaturum, ne et sibi et illis crimini fiat. circa idem tempus scriptum ac praecedens opusculum.

ʽΑἰτεῖτε᾽, φησὶν ὁ θεῖος ἀπόστολος ὁ Ἰάκωβος, ʽκαὶ οὐ λαμβάνετε, διότι κακῶς αἰτεῖτε᾽. τοὺς αὐτοῦ λόγους κἀγὼ δανεισάμενος παρ᾽ αὐτοῦ φημὶ πρὸς ὑμᾶς αἰτοῦντας μὴ λαμβάνειν. ἄλογον γὰρ ὧν ἔφθη πατριάρχης χειρὶ βασιλέως ἀλλοτριώσας, τούτων ὑπεκστῆναι πάλιν ὑμᾶς προτρέπεσθαι· οὐ γὰρ σωφρόνων ἤδη τῶν οὐδὲν προσηκόντων ἀναχωρεῖν τινὰ παρακαλεῖν, ὅτι μηδὲ τὸν πλούτου ἐκπεπτωκότα τῆς ὧν ἐστέρηται κτήσεως. οὐκ ἂν οὖν λάβητε παρὰ τοῦ μὴ ἔχοντος. ἀλλὰ τὸ μὲν τοιοῦτον· ἑτέρῳ δὲ πάλιν λόγῳ, εἴπερ ὑμῖν ἔχειν τὸν θρόνον δοκῶ, οἷς εὔκολα τὰ ἐπελθόντα καὶ ἀνύσιμα πάντα, καὶ τοῖς ἱεροῖς τοῦτο

2 *οὐ διὰ τὴν τετραγαμίαν ἦν μόνον τῇ ἐκκλησίᾳ ὁ τάραχος, ἀλλὰ καὶ διὰ τὰ κατὰ Φώτιον καὶ Ἰγνάτιον· καὶ τοῦτο δῆλον ἀπὸ τοῦ τῆς Ἑνώσεως τόμου, †ἀλλὰ καὶ ἔτι† τὸ ἐκκλησιαστικὸν κλυδώνιον δηλοῦντος. ἀπὸ δὲ τοῦ κῦρ Λέοντος, καθ᾽ ὃν ἡ τετραγαμία, ὀλίγα τὰ ἔτη.* **C** mg.

3–4 Iac. 4, 3 || **13** – p. 133, 2 E. Schwartz, Acta conciliorum oecumenicorum 1, 1, 7 pp. 123, 24–124, 25 || **15–17** Tomus Unionis, Rhalles-Potles vol. 5, 9, 6–16?

77 C – **Pk** pp. 268–269 || **2** *βιαζομένοις* **Pk**: *-όμενοι* **C** || **4** *αὐτοῦ*] fort. *αὐτοὺς* || **16** fort. *ἐπὶ πολλὰ ἔτη*. si quid video, male intellexit scholiasta quae in appendice Tomi loc. cit. de 90 annis interiectis dicuntur

κανόσιν ὅσιον καταφαίνεται, ἐκ προστάγματος τοῦ θρόνου ἀναχωρεῖν καὶ ἐπὶ τοιούτοις, εἴξομεν καὶ ἡμεῖς· πῶς γὰρ οὔ; εἰ δὲ τούτων οὐδέν, οὔτ' ἂν ἡμεῖς πράξωμεν ἃ μὴ δεῖ, τῆς ἱερωσύνης ἑαυτοὺς ἀπελαύνοντες, οὔτε τοὺς ἀξιοῦντας ὑμᾶς καὶ τούτῳ μετὰ τῶν ἄλλων ἀτόπων ἁλῶναι τῷ κακῷ ἀνεξόμεθα, οὐ τῆς ἱερωσύνης τῇ παραβάσει κἂν τούτῳ τῶν θείων νόμων ἀπαμφιάζεσθαι· δι' οὗ μηδὲ τὸ ἀξιούμενον δίκαιοι ὑποδέξασθαι, εἴπερ ἱερεῦσιν ἀλλ' οὐκ ἀνιέροις ἡ τῶν τοιούτων συμβολαίων παρακαταθήκη πιστεύεται. κήδομαι γὰρ ὑμῶν, ὥς γε θεῖος θεσμός, καὶ μετὰ τοσαύτην καθ' ἡμῶν ἀγριότητα, καὶ ἐποικτίζομαι τῆς ἀγνοίας, οὓς καὶ εἰς τόδε πολλὰ διετέλεσα διαβαστάζειν καὶ τό γε μέρος πρὸς τὸ εὐθὲς ἐπανάγειν. τοιγαροῦν κατ' ἄμφω διαμαρτάνουσιν ὑμῖν τῆς αἰτήσεως οὐδὲ τὸ λαβεῖν ὑπολέλειπται· πρὸς γὰρ τὸ ἐξ ἀρχῆς ἀνατρέχοντες εἰς ἀσφάλειαν κατακλείομεν τὸν λόγον, 'διότι κακῶς αἰτεῖτε' ἀποφαινόμενοι.

10 Lev. 19, 18; Mt. 22, 39; Mc. 12, 31; Lc. 10, 27; Iac. 2, 8

5 τούτῳ Pk: τοῦτο C || 10 ὑμῶν Pk: ἡμῶν C || 12 διετέλεσα Kurtz: διατελέσαν C || 15 ὑπολέλειπται Wk: ὑπολείπεται Pk: ὑπολείπται C || 16–17 αἰτεῖτε Pk: -ται C || 17 sequitur Op. 31 in C

78

Τοῦ αὐτοῦ πρὸς τὴν σύνοδον

Exemplis Ozae et Oziae demonstrat quam grave sit delictum eorum qui sine ordinatione munera sacerdotis obeunt. ut pleraeque huiusmodi sententiae (27, 37, 41, 74), post pacem ecclesiae reparatam haec quoque videtur prodita esse.

Περὶ τῶν ἄνευ χειροθεσίας τῆς μυστικῆς καὶ θείας τῷ ὄντι κατατολμησάντων λατρείας οὕτω γινώσκω παλαιοῖς ἐπιρρωννύμενος ὑποδείγμασι, μετὰ καὶ τοῦ κρίνειν εἰδέναι ὅσον ἐκεῖνα τὸ ἧττον οὐμενουν ὅσον εἰπεῖν τῶν καθ' ἡμᾶς καὶ νέων ἀποφερόμενα. ἐκεῖ μὲν γὰρ λίθιναι πλάκες καὶ στάμνος πλήρης τοῦ μάννα καὶ ῥάβδος βλαστήσασα καρυΐνη, ʽμικρά', κατὰ τὸν εἰπόντα, ʽκαὶ μικρῶν ἐθνῶν γέρα'· ἐνταῦθα δὲ ἄρτος μὲν καὶ οἶνος, ἀλλ' ἐπισκιάσει πνεύματος θείου ὅσαι ἡμέραι τῆς λειτουργίας τὸν μονογενῆ υἱὸν τῶν πατρικῶν κόλπων ἀπανιστᾶν οἰκονομοῦντος, ὃ καὶ τῇ συλλήψει τὴν θείαν διέπλαττε σάρκωσιν, καὶ τῇ τούτων ἐπιστασίᾳ τὸν οἶνον μὲν εἰς αἷμα μετακιρνῶν, τῶν εἰδωλικῶν αἱμάτων ἀποκαθαῖρον τὸ ἄγος, εἰς σάρκα δὲ θείαν τὸν ἄρτον μεταποιοῦν, τὸ τῆς σαρκὸς ὀλίσθημα τοῦ
271 *προπάτορος Ἀδὰμ ἐξιώμενον καὶ κόσμῳ | παντὶ ἀλλ' οὐ γωνίᾳ τούτου παραπεμπόμενον. εἴπερ οὖν ἐπὶ τοῖς πολλῷ*

6–8 Heb. 9, 4 || 8–9 Greg. Naz., Carm. I 2, 10, vs. 761, PG 37, 736A || 10–11 Io. 1, 18 || 13–14 cf. Greg. Naz., Or. 45, 12 || 14–15 Io. 6, 33; 51

78 C – Pk pp. 270–272 || 12 *ὃ* Pk: *ὅκα* C | *διέπλαττε* Pk: *διέμπλαττε* C || 13 *τούτων*] *τούτου* Kurtz || 16 *ἐξιώμενον* Pk: *ἰξιώμενον* C || 17 *τούτου* Wk: *τοῦτο* C

τῷ μέσῳ τούτων ἀπολειπομένοις, τῶν καθ' ἡμᾶς φημὶ καὶ τοῖς πολλοῖς ἀψαυστουμένων φρικτῶν μυστηρίων, 'Οζᾶν μέν, περισπασθείσης ὑπὸ τοῦ ἕλκοντος μόσχου τῆς ἁμάξης ἧς ἔποχος ἡ τὰ παλαιὰ μαρτύρια περιέχουσα, ὑφ' ᾧ παρείχετο εἰς γῆν τε ταύτην καταβληθῆναι καὶ συντριβῆναι, ὁ δὲ τὸ μέρος ἀνέσχε τε καὶ καταπεσεῖν οὐκ ἀφῆκεν, ἀλλ' οὖν τῷ μὴ τῆς ἱερατικῆς φατρίας τελεῖν διακοπῆς τὴν τόλμαν, κἂν εἰς σωτήρια τῇ λάρνακι, ἀντηλλάξατο· καὶ αὖθις 'Οζίας ὁ βασιλεὺς ἅτε βασιλεὺς θυμιᾶν ἐν τῷ τοῦ Σολομῶντος ναῷ ἀπαυθαδισάμενος λέπραν τῆς αὐθαδείας ἐνεπορπήσατο, ἣ καὶ τῆς λοιπῆς συναυλίας τοῦ 'Ιουδαίων ἔθνους ἀλλότριον αὐτὸν ἤλεγχε· πῶς ἂν καὶ τίνος ἄξιοι συγγνώμης, τὸ τῶν θύραθεν ἀκριβασμάτων ἐρεῖν, οἱ περιρραντηρίων χωρίς, τῆς ἱερᾶς φημὶ χειροθεσίας, τῶν θείων κατατολμήσαντες τῆς μυσταγωγίας, ἀλλ' οὐχὶ πόρρω καὶ ⟨τῆς⟩ τῶν Χριστιανῶν ἐνδίκως ἀπορριφεῖεν μερίδος, ἐκεῖνο καὶ παρ' ἡμῶν ἀκούοντες νῦν, ὅπερ καὶ Κάϊν, 'οὐκ ἂν ὀρθῶς μὲν προσενέγκῃς, εἰ μὴ καὶ ὀρθῶς διέλῃς', καὶ τὸ 'ἴδετε οἱ καταφρονηταὶ καὶ θαυμάσατε, ὅτι θαυμάσια ἔργα ἐγὼ ἐργάζομαι, λέγει κύριος'; καὶ τίνα ταῦτα; ἅπερ ἑαυτῷ ἕκαστος προὐμνηστεύσατο· 'ἕκαστος' γάρ φησι 'κατὰ τὸν ἴδιον κόπον μισθὸν λήψεται'· καὶ ὁ θεοπάτωρ Δαυὶδ 'ἐκεῖ ἔπεσον πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν, ἐξώσθησαν καὶ οὐ μὴ δύνωνται στῆναι'. ποίας γὰρ ἂν στάσεως ἀντιποιηθεῖεν οἱ τὸν υἱὸν τοῦ θεοῦ παραλελογισμένως καταπατήσαντες καὶ τὸ τῆς καινῆς διαθήκης ἀμβρόσιον αἷμα οὐδὲν ἔχειν πλέον οἰηθέντες τῶν κοινῶν καὶ βεβήλων αἱμάτων, ἀνευλαβῶς ἄγαν καὶ μαγειρικῶς, ἵνα μὴ ἀθέως λέγω, τῇ ἑαυτῶν ἐπι-

2–8 2Reg. 6, 6–8 || **4** cf. Ex. 25, 16; 40, 20 || **8–12** 2 Par. 26, 16–21 || **18–19** Gen. 4, 7 || **19–21** Hab. 1, 5; Act. 13, 41 || **22–23** 1Cor. 3, 8 || **23–25** Ps. 35, 13 || **25–28** Heb. 10, 29

6 *ἀνέσχε τε* Pk: *ἀνέχετε* C || **8** *εἰς σωτήρια*] fort. *εἰ σωτηρία* || **14** *χωρίς* Kurtz: *χάριν* C || **16** *τῆς* Pk: om. C || **29**–p. 136,1 *ἐπιτρέψαντες* Wk: *ἐπιστρέψαντες* C

τρέψαντες προπετείᾳ ἱεροτελεστικῶς χρήσασθαι καὶ κατακαλεῖν τὴν ἄνωθεν ἐπιφοίτησιν τοῦ παρακλήτου εἰς τὸ μετασκευάζειν τε καὶ ποιεῖν εἰς ἐκεῖνο εἰς ὅπερ αὐτοῦ τοὺς μετόχους ἡμᾶς ἐπηγγείλατο γίνεσθαι; οἷς μηδὲ τὸ τυχὸν πνεῦμα, μὴ ὅτι γε θεῖον, δι' ἀναίδειαν ἄκραν αἰτοῦσι παρουσιάσαι παρακεχώρηται.

272 'Αλλ' ἀνάγκῃ οὕτω προβῆναι, ἐρεῖ τις, ἐπέ|τρεψεν. ἀλλ' ἀκουέτω ὡς οὐδεμία ἀνάγκη τῶν ἑαυτοῦ ὅρων ἐξίστασθαι καὶ ζῆν ἀνταλλάττεσθαι ἀθεότητος· οὐδὲ ἐκφεύξονται τιμωρίας καὶ τῆς ἐσχάτης οἱ τηλικαύτης ἀφειδήσαντες παρανομίας, ὅτι μηδ' ὅσοι τῶν ἀκαταπτύστων πρόσωπον ὑποδύντες βασιλέως καὶ τὴν ἁλουργὸν ἐσθῆτα ἐπισπασάμενοι ἀνεύθυνοι τὸ παράπαν, οὐδ' οἱ ἐπιτεθυκότες Χριστιανοὶ εἰδώλοις ἀνέγκλητοι, τέχνῃ πανουργοτάτῃ τὴν ἑαυτῶν σωτηρίαν ἐμπορευσάμενοι.

Κἀγὼ μὲν ταῦτα· εἰ δέ τις περιουσίᾳ σοφίας τούτων ὑπέρτερον ἔχει τι νοεῖν, μόνον εἰ τῶν ἀπροσκόπων ἐξέχοιτο ταῦτα καὶ ἀκαταγνώστων συνεπιλήψει θείων πραγμάτων, οὐχ οὕτως ἰδιογνώμων ἐγὼ καὶ σοφὸς παρ' ἐμαυτῷ ὡς καὶ τὸ 'οὐαὶ οἱ συνετοὶ ἐν ἑαυτοῖς καὶ ἐνώπιον αὐτῶν ἐπιστήμονες'.

3–4 Io. 6, 56 || **19** Prov. 28, 11 || **20–21** Is. 5, 21

79

ʼΑρέθα διακόνου, γεγονότος δὲ καὶ ἀρχιεπισκόπου Καισαρείας Καππαδοκίας, ἐπὶ τῇ ἰδίᾳ ἀδελφῇ (40r)

Titulus inscriptus sepulcro Annae sororis Arethae in patrio monumento apud Patras conditae; ut et epigrammata duo sequentia Aretha diacono scriptus, ergo ante a. 902 utique, sed cum ambo parentes superstites essent, Anna vicesimo tertio aetatis anno obierit, verisimilius annis 880/890 assignandus.

Εἰ καί μοι λύχνον αἰῶνος ταχὺς ἔσβεσεν οἶτος
λαμπάδος ἡμετέρης φέγγος ἀμερσάμενος,
ἀλλὰ γὰρ ἤρκεσε λύσσῃ ἑῆς κακότητος δαίμων
πᾶσαν ἐμὴν τελέσαι στυγναλέην βιοτήν.
θῆκέ με χήρην ἐγγὺς ἀειρομένου μοι μαζοῦ
οὐδ᾽ ἐπὶ τέκνον ἴδον καλὸν ἀθυρόμενον
ἡδὺ τοκεῦσιν ἄγαλμα παραγκάς· τῷ γέ με πένθος
ἄτλητον μαλερῷ τηκεδόνος δάμασε
πυρσῷ. τρεῖς πρὸς ἐείκοσ᾽ ἐποιχομένην ἐνιαυτοὺς
ἔσχεν τύμβος ὅδε ξεινοδόκος γενέθλης
ἡμετέρης· ἔνθ᾽ ὕφηνον γενετῆρες ἅπασι
γηραλέοι θρῆνον τειρόμενοι πολιὴν
καὶ χορὸς εὐγενέων στενάχοντες ἀδελφῶν Ἄννης 40v
μνώμενοι ἀσπασίως εἴδεος ἀγλαΐης.

79 P — Anth. Gr. 15, 32 ‖ **1–2** *γεγονότος — Καππαδοκίας*] post *ἀδελφῇ* add. **PJ** ‖ **5** *γὰρ*] *γαρ* **P**, *γ᾽ ἄρ᾽* Boissonade | *δαίμων*] *ὁ δαίμων* Jacobs ‖ **9** *γέ* Boissonade: *κε* **P** ‖ **14** *τειρόμενοι*] *τιλλόμενοι* Boissonade

80

Τοῦ αὐτοῦ εἰς τὴν αὐτήν

Versus imagini eiusdem adscripti prope sepulcrum, credo in pariete ecclesiae.

Τὸ σεμνὸν ἦθος, τὴν φιλάνθρωπον χάριν,
τὸ πρὸς τεκόντας τοῦ τρόπου πειθήνιον
(αἰδὼς γὰρ ἦγεν ὡς διδάσκαλος μέγας)
παρ' ὧν τὰ λαμπρὰ τοῦ γένους γνωρίσματα,
καὶ τὰς φιλάνδρους ἐνστάσεις πρὸς τὴν φύσιν
κλονοῦσαν ἀστήρικτα χηρείας βίᾳ,
ἀντεμπλοκῇ δὲ κρειττόνων ἡττωμένην,
ἀφ' ὧν τὰ φαιδρὰ στέμματα πρὸς ἀξίαν
μόνανδρον ἐκλάμποντα τὴν παρρησίαν,
Ἄννης ἀμαυροῦν οὐ δυνήσεται τάφος.
πάντων γὰρ αὐτῆς οὐδαμῶς λάθοι στόμα
καλὸν φερούσης νουθέτημα τῷ βίῳ·
εἰ δ' οὖν, λαλήσει καὶ γραφὴ πάντων πλέον
αὕτη παρ' αὐτὸν τὸν τάφον τεθειμένη.

80 P – Anth. Gr. 15, 33 || **5** *παρ' ὧν*] *παρὼν* ex *παρῶν* **P** (**4** *αἰδὼς* –**5** *παρών* in parenthesi edd.) || **8** *ἡττωμένην* Boissonade: *-ης* **P** || **9** *ἀφ'*– **10** *ἐκλάμποντα*] in parenthesi edd.

81

Τοῦ αὐτοῦ εἰς Φεβρωνίαν μοναχήν

Titulus sepulcralis Febroniae monachae, haud dubie ut superiores revera monumento inscriptus.

Δρᾶσέ τί που καὶ νερτερίοις μετὰ πνεύμασιν ἀνδρῶν
Φεβρωνία ἑῆς σύμβολα συμπαθίης,
εἴ τις κἀνθάδε χρειὼ ἀφνειῶν ἦε πένησιν·
οὐδὲ γὰρ οὐδ' αὐτοῦ τῆς σφετέρης ἐς ἅπαν
ψυχαὶ λήθονται μεγαθύμων εὐεργείης.
ἔμπα γε μὴν αἰὼν ἡμετέρου βιότου
ἄρκιος εἴη θεῖον ἐπὶ προέμεν θάλαμόν μιν
Χριστοῦ, τόν ῥα νυὸν σεμνὸν ἔλ' ἀφθορίης,
λαμπάδ' ἐλαίῳ φαιδρύνουσα φιλοπτωχείης.
ἧς τόδε σῆμ' ὕπνου γνῶθι πολυχρονίου.

10 Mt. 25, 1–13

81 P – Anth. Gr. 15, 34 || 4 ἦε Jacobs: ἠέ, ᾽ ex ῀ P

82

(100) Item de eodem per eundem Aretham archiepiscopum, eodem quo supra interprete

Laudatio funebris in Euthymium praesente Eustathio protopapa Ecclesiae Novae habita, cum reliquiae eius Constantinopolim translatae essent (post m. Iul. a. 920); nescio an eadem quam a quodam archiepiscopo in ecclesia S. Aemiliani habitam esse dicit vol. I p. 87,29–88,6.

Euthymio patri ac patriarchae sanctissimo orationis nostrae primitias dedicaturus commode videor mihi posse clamans in vocem illam erumpere, 'vere mirabilem fecit Dominus sanctum suum'. quae enim ille discipulis suis eventura praedixerat quibusque viam quae ad vitam ferret ostendit, haec si quis consideret, in huius vitam abunde confluxisse omnia animadvertet ab iisque divinam veluti eius statuam egregie ad pulchritudinem expolitam fuisse: nam et gravissime ipse quoque pressus est in mundo et per angustam et arctam viam in aeternas illas perennis vitae mansiones penetravit, unde una cum gemitu dolor aufugit, miserabiles vere huius saeculi notae, ubi vox gaudentium de rebus a se recte gestis atque praeclare, et sonus festive acclamantium, quod confractus sit laqueus, quod sicut passer erepti sint de laqueo venantium, quod eorum quibus obtigerat ut sanguinem innocentem condemnarent supremi Dei ope iudi-

1 Est alia eiusdem oratio habita praesente Eustathio primo papa novae Ecclesiae, id est Constantinopolitanae, simpliciter et apposite ad ingenium ipsius Eustathii. **Lip.** mg.

82 Lip. pp. 100–102 || **5–6** Ps. 4, 3 || **12** Mt. 7, 14 || **15–16** Ps. 41, 5 || **17–18** Ps. 123, 7 || **18–19** Ps. 93, 21

cium evaserint; ut vere Salomonis illud queat usurpari, 'iusti in saeculum vivent', futurum videlicet. quid est enim, quaeso, quamobrem vita haec, in qua nunc sumus, vita merito debeat appellari, quae ab nulla non sui parte ad interitum properat? hanc unam iste optabat, huius unius cupiditati totus deditus erat, quam qui tenent felices sunt in Domino, de quo uno spes suas aptas esse omnes voluerunt cuique ut hic ipse, cuius nunc laudes persequimur, vitam suam omnem dedicarunt. quo quidem fit ut meritis hinc etiam praemiis afficiatur, quippe cum eius gloria iam cum laudibus celebretur atque ex ea quam hic apud nos habet famae celebritate perpetuo permansurae illius signa initiaque ostendat.

'Et spes illorum apud altissimum'. euge rata perpetuo spes expectatioque certissima, siquidem in eo stabilita est qui vere est. caeterum quis alius sic quemadmodum hic ad iussa Dei exequenda expeditus Deoque penitus deditus vir in Dominum speravit? qui hac in re ne ipso quidem illo Enos longo intervallo inferior fuit, qui mirandae huius ipse | virtutis primus author extitit. quippe 101
assidue omni in re invictam spem veluti solidissimum quoddam scutum prae se ferre solitus erat. quamobrem etiam cum rebus undique asperis premeretur, auxiliis omnibus humanis contemptis omnique mortali spreto patrocinio in solo Deo spem suam collocavit, a quo vere etiam fuit adiutus, et protulit caro eius patientiae germen sanctum, cum qua confecta praesenti vita fidens ad Deum migravit, gaudio de parta victoria triumphans.

Exin etiam, iuxta ea quae de sacro eloquio sequuntur, 'accepit regnum decoris et diadema pulchritudinis de manu Domini', quoniam ipse Dominus ait 'dignus est operarius mercede sua'. quid est, auditores, quod sana mente aliquis maiore studio velit adipisci quam haec? si enim quibus feliciter contigit ut brevi vitae huius

1–2 Sap. 5, 15 || **15** ib. || **19–21** Gen. 4, 26 || **31–32** Sap. 5, 16 || **32–33** Mt. 10, 10

35 contigit Wk: contegit **Lip.**

regno potirentur, ii, tametsi plerunque id sine animi angoribus tenere non possunt sciuntque superiorum exemplo in eo ad multum tempus se non permansuros, nihilominus tamen tanquam magnum aliquod adepti magna laetitia gestiunt, quanto tandem aequius est illos gaudere qui regnum periculis vacuum aeternumque sunt consequuti? cur porro non illud magis omni studio quaerendum amplexandumque est, in quod etsi ingressio non nisi per multas tribulationes datur, ubi tamen ingressus sis, omnium quos pro eo adipiscendo susceperis laborum obliviscare? cum eiusmodi ea sit quae ibi habetur beatitudo, ut maiorem in modum quam quis dicendo assequi posset eam quae fuerit in illo parando difficultatem exuperet.

Verum enim quoniam haec ita se habent atque in his omnibus tu qui es athleta fortissimus assidue a teneris, ut ita dicam, unguiculis versatus te ipsum exercuisti, usque dum beatum istum tumulum subiisti, voluntariis partim, partim iis etiam in quae inscrutabilis te illa mens certaminum praeses coniecit forti animo obeundis, et quemadmodum sane decretum divinitus erat, ita et fortiter in iis te gessisti nihiloque minore fortitudine quam celeberrimus Iob ille Ausites, cum quo etiam una victor praedicaris gloriamque tuam longe lateque per universum terrarum orbem propagas, vere beatus es longeque beatissimus cum ob eam qua hic usus es patientiam tum ob eam etiam quam ibi adeptus es haereditatem; quemadmodum contra miseri longeque miserrimi illi qui latam et spatiosam ingressi viam, cum innumerabilibus te aerumnis oppresserint, simile viae sibi imprudentes diversorium paravere. te igitur quis non admiretur, quem Dominus in terris mirabilem fecit? quis non mortalibus omnibus amabilem desiderabit, ob vitae rectitudinem, ob morum simplicitatem resque rectissime gestas? quis non te pleno ore laudibus in coelum extulerit, virum optimum atque affabilitate plenissimum

8–9 Act. 14, 22 || **16–17** CPG II 407 || **18** Hes., Op. 289–292 || **22–23** Iob 1, 1 || **29** Mt. 7, 13 || **32** Ps. 4, 4; cf. 15, 3

quique omnia factus es omnibus, ut, quemadmodum Paulus ait, prorsus aliquem invenires ex iis qui fierent salvi?

Multa me habentem horum similia quae memorarem de rebus abs te gestis praeclare, sane laudatorum ingens quidam me numerus circumsistit, quorum alii aliunde me urgent, ut aliquid ipsis quoque ad te laudandum spatii 102
velim relinquere; siquidem soliti sunt | omnes in quibus aliqua inest dicendi facultas in eo gloriari, si dicendo aliquas vobis laudes tribuerint ac sacrosancto Dei velut altari de labiis suis vobis fructum attulerint. equidem ego quantum viribus consequi potui, vel potius quantum orationibus vestris inspiratus sum ut dicerem, posteaquam debitum desiderio meo iam officium persolvi, finem faciam dicendi ipsisque ut suo itidem fungantur concedam, illorumque in vobis laudandis laudes meas ipse sum existimaturus.

1–3 1Cor. 9, 22 || 10–11 Heb. 13, 15

APPENDIX I

Protothroni cuiusdam epistula ad Constantinum Porphyrogennetum

83

’Επιστολὴ τοῦ πρωτοθρόνου πρὸς τὸν Πορφυρογέννητον Κωνσταντῖνον τὸν βασιλέα διὰ τὸ γῆρας τοῦ θρόνου τῶν Καισαρέων ἐκβάλλεσθαι μέλλοντος (176^{v})

Hanc epistulam protothroni propter aetatem ex sede Caesariensi expulsi Arethae tribuunt Lambros et eius editionis rationumque ignarus Diekamp; quibus oblocutus est Darrouzès (Épistoliers byzantins, Paris. 1960, p. 92, n. 44) arguens Constantinum circa a. 933 tantam potestatem non habuisse, ut contra synodale decretum auxilium eius invocari posset, quamobrem aut Basilio Minimo Arethae successori aut alii protothrono prorsus ignoto epistulam tribuit. sed fortasse in talibus rebus vestigium aliquod potentiae Constantino relictum erat; aut, quod Beck putat, Arethas restituto Constantino a. 944 etiamtum inter vivos erat. ego, cum senem leonem, aegrotantem sane et debilitatum, ex ungue tamen agnoscere mihi videar, hoc saltem loco inserendam putavi. cf. etiam locos ad p. 146,19 citatos, quibus et Arethas et Nicetas (semper in verba magistri iurare solitus) eadem fere de Arethae morum simplicitate iactant quae de se protothronus anonymus.

Θειότατε βασιλεῦ, τὸ σφοδρὸν τοῦ πάθους καὶ ἀλγεινὸν ὀλοφυρομένῳ καὶ ἀποκλαίοντι, δάκρυσιν εἰ οἷόν τε ἦν καὶ οὐ μέλανι τὰ τῆς γραφῆς ἐγχαράξασθαι καὶ καινοτέραν

83 B – Diekamp pp. 235–236; Lb[2] pp. 205–206

τὴν τραγῳδίαν ποιήσασθαι καὶ τὸν χαλεπὸν βρασμὸν τῆς καρδίας ὅσος εἰπεῖν καὶ οἷος τῇ συμπαθεῖ ἐπιδείξασθαι βασιλείᾳ σου καὶ τὴν ἀδικίαν γνωρίσαι τρανότερον τοῖς αἱρουμένοις τὰ λυπηρὰ τῇ ἐμῇ ἀσθενείᾳ ἐπιτεχνάσασθαι καὶ κατεργάσασθαι· — ἀλλ' ἐρωτῶ· τίς ἡ τοσαύτη περὶ ἡμᾶς φημιζομένη καινοτομία, τί τὸ κινῆσαν καὶ παραθῆξαν τὴν ἄμετρον ὀργὴν καὶ ἀνύποιστον; ὦ νόμοι καὶ ἱεροὶ κανόνες καὶ πατέρων ἱερὰ διδάγματα· τοῦ οἰκείου θρόνου ἀπελαύνεσθαι διακούομαι, ἐφ' οἷς ἑάλωκα μὴ εἰδότα ἐγκλήμασιν, ἀλλ' ὅτι τῷ θρόνῳ πολλὰ πεπονήκαμεν καὶ ἡμῶν προκεκρίσθαι παρὰ πάντα δίκαιον λόγον πειθόμεθα. οὐρανέ, εἴ τίς σοι πρόσεστιν αἴσθησις, τὴν ἀτοπίαν τοῦ πράγματος ἄκουε· γῆ, ἐνωτίζου τῆς ἀδίκου ψήφου τὴν ἀποκλήρωσιν. οὓς ἐγέννησα, οὓς ἐφύτευσα, οὓς διὰ τῶν 177r τῆς σοφίας λόγων | ἐθήλασα, τὴν ἐμὴν πολιὰν ἀποδοκιμάζουσι καὶ ἀποστρεφόμενοι ἔγκλημά μοι τὸ γῆρας προσάγουσι καὶ ὡς πρόσκομμα τὴν τοῦ σαρκίου ἀσθένειαν διασύρουσι. τούτοις συγκατηγορεῖν καὶ συνδιαβάλλειν τολμῶσι τὴν φίλην ἐμοὶ καὶ ἐκ πολλοῦ ποθηθεῖσαν ἁπλότητα ἔκστασιν τοῦ νοὸς καὶ παραφορὰν ἀνοήτως ἀποκαλεῖν καὶ ὀνομάζειν οὐκ ἐρυθριῶσιν οὐδὲ αἰσχύνονται.

Ταῦτα δὴ τὰ ἡμέτερα ἀτοπήματα καὶ ἐγκλήματα. σὺ δὲ πῶς ποτὲ διακρίνεις ταῦτα καὶ ἐκλαμβάνεις, γενναιότατε βασιλέων καὶ ἐνδοξότατε; πλουτῶν γὰρ μετὰ τῶν ἄλλων καὶ τὸ καλῶς διακρίνειν τὰ πράγματα, εἰπὲ πρὸς αὐτῆς τῆς τριάδος, ἣν πρεσβεύομεν ἅπαντες, διὰ γῆρας τοῦ θρόνου ἀποβληθήσομαι καὶ δι' ἀσθένειαν τοῦ βαθμοῦ τῆς ἀρχιερωσύνης ἀποδοκιμασθήσομαι; ἢ καὶ κατὰ κρημνῶν ὥς τις ἵππος γηράσκων ἀπορριφήσομαι καὶ τάφον ἕξω τὸν χαραδρεῶνα, ἵνα τούτῳ δὴ τοῖς τῶν Ἑλλήνων ἐξομοιω-

12–14 Is. 1, 2 || **19** cf. vol. I p. 227, 13–14; vol. II 66,8–15; infra p. 165, 22–23 || **28–30** CPG I 232

3–4 exp. *τῶν αἱρουμένων* || **6** *κινῆσαν* Diekamp, Lb: *-σα* **B** || **11** *προκεκρίσθαι* Diekamp: *προκέκρισθε* **B** || **11–12** *πειθόμεθα* Lb: *πυθώμεθα* (?) **B**

θήσεται τὰ ἡμέτερα; ἐγὼ μὲν οὖν, μὰ τὸν τὸ διάδημα τῆς βασιλείας σοι περιθέμενον, πολλὰς βίβλους διεξελθὼν καὶ πολλὰς ἱστορίας ἀναμαξάμενος οὐκ ἐνέτυχον οὐδ' ἀνέγνων δι' ἀσθένειαν σώματος ἢ γήρους ἀνωμαλίαν τοῦ οἰκείου θρόνου ἐκβάλλεσθαι.

4 ἀνωμαλίαν] fort. ἀδυναμίαν

APPENDIX II

Nicetae Paphlagonis epistulae

84

Τοῦ αὐτοῦ 21r

Arethae monitis obsequens Nicetas iis argumentis quae ille contra Pharsalorum episcopum attulerat (Opp. 45–46) de suo quaedam addit. omnem actionem ad finem aliquem, id est bonum aliquod aut verum aut falsum pertinere, matrimonii autem finem esse propagationem generis humani, voluptatem vero accidentis locum obtinere, simili modo ut in nutriendo corpore. eorum ergo qui Deo se dediderint alios corporali commercio omnino abstinere maluisse, alios creationi sustentandae aliquid tribuendum putavisse, se ipsos voluptate non tangi existimantes; idque fortasse significare apostolum, cum dicat bonum esse 'mulierem non tangere' potius quam 'muliere non uti' (1Cor. 7, 1). cum vero plerique sola voluptate carnali capiantur, unico matrimonio eam lege divina circumscribi et regi. quod igitur cavillator iste ex eo colligat tale coniugium malum esse, contra rationem dialecticam facere, quae differre non bonum ab eo quod est malum doceat. posse etiam 'bonum', ut saepe fiat, pro 'optimo' accipi. scripta post Opp. 46 et 72, ergo non ante m. Febr. 907.

Κάλλιστα μὲν ὑμῖν, ὦ μακάριε, καὶ πολλῷ κάλλιστα πρὸς τὸν κακότεχνον ἀντείρηται σοφιστήν, καὶ τί γὰρ ἢ τῆς ὑμετέρας μεγαλοφυΐας ἐπάξια; ἄγαμαί σε τοιγαροῦν, ἄγαμαι τῆς πολυνοίας καὶ μεγαλονοίας, κόλακα τρόπον παραπέμπων εἰς κόρακας, καὶ τὸ ὡς ἐν ἀπόροις εὔπορον

6 CPG I 52; II 18

84 W – Lb^4 pp. 3–7

τοῦ λόγου καὶ εὐμήχανον τούτοις μᾶλλον ἢ πᾶσι τοῖς ἄλλοις τεθαύμακα ἐνορώμενον. ὅθεν οὐδ' ἀντιβλέπειν οἷός τ' εἶναι ᾠόμην πρὸς τηλικαύτην λόγων λαμπρότητα, μή τί γε δεῖν καὶ τοσοῦτον ὀξυωπεῖν οἴεσθαι, ὡς εἴ τι καὶ ἐμφωλεύοι τοῖς εἰρημένοις μὴ πάνυ τῇ ἀληθείᾳ καταστραπτόμενον εἰς φῶς ἄγειν καὶ διακαθαίρειν ἐπιχειρεῖν. πλὴν * * προτεινομέναις ἐπιτάσεσι παρασκευάζειν, εἴκοντες ὑμῖν τοσοῦτον ἔχομεν λέγειν.

Δοκεῖ γάρ μοι, μακαριώτατε, τὸ ‛ καλὸν ἀνθρώπῳ μὴ ἅπτεσθαι γυναικός, διὰ δὲ τὰς πορνείας ἕκαστος καὶ ἑκάστη γινωσκέτω τὸ συνοικοῦν', ᾧ δὴ λόγῳ τὸ τοῦ ᾱ γάμου σεμνὸν ἐνδιαβάλλειν ὁ σοφιστὴς ἰσχυρίζεται, ἔτι δεῖσθαί τινος ἐπικρίσεως εἰς λαμπροτέραν τοῦ ψεύδους περιτρο-
21v πήν. | πᾶσαν μὲν γὰρ πρᾶξιν καὶ πᾶν τὸ γινόμενον (δεῖ γὰρ ἴσως οὑτωσὶ τῷ λόγῳ διαλαβεῖν) πρός τι τέλος ὁρᾶν πᾶσαν εἶναι ἀνάγκην· τὸ δέ ἐστιν ἢ ἀγαθὸν τῷ ὄντι καὶ τῆς πρώτης ἔκγονον ἀγαθότητος ἢ φαντασίαν ἀλλ' οὐκ ἀλήθειαν ὑποφαίνει τοῦ ἀγαθοῦ, ὃ παρατροπὴ πάντως καὶ ἀσθένεια τοῦ κρίνοντος γίνεται νοῦ, ὡς καλῷ τῷ μὴ τοιούτῳ προσεχομένου. μιᾷ τοιγαροῦν τῶν κατ' ἀνθρώπους πράξεων ὄντι τῷ γάμῳ, ἀλλὰ καὶ θεὸν αἰτιωμένῳ τῆς ἀρχῆθεν συστάσεως — ἐπεὶ τοῦ χάριν τὸ θῆλυ; μάτην γὰρ μήτε θεόν τι ποιεῖν μήτε τὴν φύσιν τοῦ παντὸς ἀληθέστερον· — θεῷ δὲ τὴν αἰτίαν ἐπιγραφομένῳ καὶ διὰ τοῦτο καὶ ἀγαθῷ, ἀκόλουθον ἀνάγκη τούτῳ καὶ τὸ τέλος ἰδεῖν, οὗ δὴ χάριν καὶ παρελήφθη, μᾶλλον δὲ πολλῷ προέχον τῇ τιμιότητι· πᾶν γὰρ εἶναι τέλος τῆς πρὸς αὐτὸ φερούσης ὁδοῦ κρεῖσσόν τε καὶ ὑψηλότερον.

Εἰπάτωσαν οὖν ἡμῖν οἱ περιττῶς σοφοὶ τὸ ἀπὸ τοῦδε τί τῷ γάμῳ σκοπός, πότερον ἡδονὴ ψυχρὰ καὶ κατά-

6–7 cf. vol. I p. 314,12–22 || **9–11** 1Cor. 7, 1–2 || **22–24** Aristot., De caelo I 4, 271a33

7 lac. indic. Wk, supple fere *ἐπεὶ καὶ ἡμᾶς κελεύεις ἀντιλογίαν τινὰ ταῖς* || **11** *ᾱ γάμου* Grumel (cf. p. 135,7–8): *ἀγάμου* **W**

πτυστος τῷ γε νοῦν ἔχοντι ἡ γένεσις ἀνθρώπου καὶ βλάστη χρήματος | οὕτω ἀξιαγάστου, τῆς ὁρωμένης ὅλης διακοσμήσεως 22r δεσποτεύοντος; εἰ γὰρ καὶ συμπέφυκέ πως τῷ γάμῳ καὶ παραπλέκεται ἡδονή, οὐδὲν τοῦτο δι' ὄχλου τῷ λόγῳ, ἀλλὰ συνελαφρίζειν μὲν καὶ τὸν ἀπὸ τῆς πράξεως κάματον ὑποκλέπτειν, ὥσπερ δὴ καὶ ἄλλαις πάσαις παρυφισταμένην ἐνεργείαις ὁρῶμεν τὴν ἡδονὴν εὔροιάν τε ταύταις καὶ εὐμάρειαν παρεχομένην, οὐκ ἂν ἀντειπεῖν ἔχοιμεν, ὑπὲρ δὲ τοῦ ἥδεσθαι μόνου τὴν κοινωνίαν ἐπινενοῆσθαι, τῆς ἀλογίας· ὥσπερ ἂν εἰ καὶ τὸ μεταλαγχάνειν τροφῆς ἡδονῆς ἀλλ' οὐ συντηρήσεως χάριν τοῦ ζῴου παραλαμβάνοιτο, ἐπεὶ καὶ δοκεῖ τυχὸν τοῦτο τοῖς κόρου θεραπευταῖς. ἀλλ' ὥσπερ τὸ καθηκούσῃ χρῆσθαι τροφῇ ἀγαθόν (ἀγαθοῦ γὰρ τῆς κατὰ τὸ εἶναι τῷ ζῴῳ συνοχῆς αἴτιον, εἰ καὶ ἄλλως ἡδύνεσθαι τῇ προσφορᾷ συμβαίνει τὴν αἴσθησιν), οὕτω δὴ καὶ γάμος τῷ τε τῆς ἀγαθουργοῦ καὶ γονίμου τῶν ὄντων αἰτίας εἴδωλόν τι καὶ ἴχνος ὑποφαίνειν ἐν ἑαυτῷ ἀγαθόν· καὶ τὸ οὗ ἕνεκα, φημὶ δὴ τὸ κατὰ διαδοχὴν πλη-| θυσμῷ τῆς δημιουργίας, πάγκαλόν τι καταλαμβάνεται 22v χρῆμα καὶ ἀξιέπαινον, μηδὲν ὅλως τῇ τῆς ἡδονῆς συζεύξει χραινόμενον, ὁπότ' ἂν ἡ μὲν ἄλλως παρέπηται, οὐμενουν τοῦ μετιόντος πρὸς αὐτὴν ἐπιστρεφῶς ἔχοντος.

Ὅσοις μὲν οὖν σαρκὸς ἁπάσης ἐμέλησεν ἀπανίστασθαι, πρὸς δὲ τὸ πνεῦμα μεταχωρήσασι τοῖς θείοις συγγίνεσθαι, τοῖς μὲν χρῆναι δοκεῖ τῆς πρὸς τὴν σάρκα συμπλοκῆς ἑαυτοὺς ἀπάγειν ὡς πορρωτάτω μηδέ γε τῇ ταύτης θίξει λαβόντας τι πάθους ἐμπύρευμα κατασυρῆναι πρὸς αἴσθησιν καὶ ταύτῃ γε δὴ τῇ εὐλαβείᾳ παρθενίαν ἐκλέξασθαι, μηδὲ γὰρ πιστεῦσαι τῇ τῆς σαρκὸς ἀσθενείᾳ ὡς οὐκ ἐμπαθῶς χρησομένῃ τοῦ γάμου τὴν μεταχείρισιν· τοῖς δὲ τὸ μὲν ὑψηλὸν τοῦ νοῦ καὶ πρὸς θεὸν ἀναφέρον τὴν μίμησιν οἷόν τ' εἶναι τηρεῖν ἐδόκει, οὐδὲ βραχὺ γοῦν τοῦ τῆς ἀπαθείας ὑποβαῖνον καλοῦ διὰ τῆς πρὸς τὰ σώματα κοινωνίας, ὡς

9 *τοῦ ἥδεσθαι* Wk: *τοῦ οἴ≡εσθαι* **W** (possis *τούτου οἴεσθαι*) || **18** *τὸ* (bis)] fort. scr. *τῷ* | *οὗ* Lb: *οὗς* **W** || **21** *χραινόμενον* Lb: *-ος* **W** || **25** *δοκεῖ* Lb: *-εῖν* **W** || **27** *ἐμπύρευμα* Lb: *ἐμπόρευμα* **W**

ἔχεσθαι μὲν ἀνυποκλίτως τοῦ κρείττονος, τῶν δὲ γενεσι-
23r *ουργῶν πρά|ξεων μὴ παντάπασι κατολιγωρεῖν οἴεσθαι δεῖν, σκοπῷ μὲν ἀγαθῷ καταννομένου τοῦ γάμου, τῆς ἡδονῆς δὲ τούτοις παρὰ φαῦλον λογιζομένης. τοῦτό μοι δοκῶ καὶ τὸν θεῖον αἰνίττεσθαι Παῦλον τῷ φάναι καλὸν εἶναι μὴ ἅπτεσθαι γυναικός. ὅ τε γὰρ πάντῃ τὴν πρὸς τὰ σώματα νεῦσίν τε διαδιδράσκων καὶ συμπλοκήν, ὅ τε χρώμενος μὲν τῇ συνόδῳ, οὐχ ὥστε δὲ προσπερονᾶσθαι διὰ τῆς ἡδονῆς τῇ σαρκὶ ἢ τοσούτου τιμᾶσθαι τὴν συζυγίαν ὡς μεῖζον τοῦ ἔργου τὸ πάρεργον τίθεσθαι, πρὸς μόνην δὲ τοῦ γένους τὴν ἐπίδοσιν ἀφορῶν, τῆς ἀφῆς ἀπολέλυται. ὅρα γὰρ δή μοι καὶ τὴν λέξιν αὐτήν· οὐκ εἶπε καλὸν εἶναι μὴ χρήσασθαι γυναικί, οὕτω γὰρ ἂν παρθενίαν μόνην ἐνέκρινεν, ἀλλὰ μὴ ἅπτεσθαι παρηγγύησε, διὰ τῆς ἀφῆς τὸ σφοδρὸν παριστὰς τοῦ πάθους καὶ τὴν οἷον συναφὴν τοῦ κρείττονος πρὸς τὸ χεῖρον καὶ κόλλησιν.*

Ἑκατέρως μὲν οὖν τὸ μὴ ἅπτεσθαι τῷ θείῳ πνεύματι καλὸν μεμαρτύρηται. ἐπεὶ δέ τινων, μᾶλλον δὲ τῶν πλεί-
23v *στων, τοσοῦτον ὁ τῆς σαρκὸς κατεκράτησεν ἔρως | ὡς φιληδονίαις αἱρεῖσθαι μόναις κακοδαιμόνως συζῆν καὶ πρὸς ἓν τουτὶ μόνον ἀποσκοπεῖν, ἀδιαφορίᾳ δὲ πρὸς τὸ θῆλυ κατακεχρῆσθαί τε καὶ πρὸς τὴν κτηνώδη εὐχέρειαν μεθαρμόζεσθαι, τὴν τοιαύτην ἔκπτωσιν ὁ θεῖος ἀνασηκῶν νόμος ἕκαστον καὶ ἑκάστην δηλαδὴ τῶν τοιούτων συντάττει πρὸς τὸν ὁμόζυγα, ὁμοῦ τό τε πλημμελὲς τῆς μίξεως καὶ ἀόριστον ὅρῳ τινὶ καὶ τάξει διαλαμβάνων, ὁμοῦ δὲ καὶ πρὸς ὑπόμνησιν ἐπανάγων τοῦ κατὰ τὸν γάμον καλοῦ καὶ οὕτω τοῦ γένους τὸν πληθυσμὸν προμηθούμενος, ὡς μηδὲ τὴν φύσιν αὐτὴν τὸ οἰκεῖον ἀγνοεῖν ἔχειν καλόν, φημὶ δὴ τὸ γόνιμον καὶ δημιουργικόν, ᾧ καὶ τῷ κρείττονι μάλιστα ἐξωμοίωται. ἐμοὶ τοίνυν δοκοῦν τὸν περιπαθῆ τουτονὶ γάμον τοῦ μὴ πορνεύειν χάριν τὸν νομοθέτην εἰσκρίνεσθαι, ἀλλ' οὐ τὸν ἔρωτι ῥυπαρῷ μὴ χραινόμενον. ἐπειδὴ γὰρ πρὸς τὴν βελτίστην ἅπαντας ἀγωγὴν ἐκκαλεῖσθαι δυνατὸν*

32 τὸν νομοθέτην] τῷ νομοθέτῃ Lb

οὐκ ἦν, ἐλάττονι | κακῷ τὸ πάμμεγα διακρούεται, μᾶλλον 24r *δ' ἴσως οὐδὲ κακῷ, ἥττονι δ' ἀγαθῷ, καθ' ὅσον καὶ σαρκός τι φιλίας παρέζευκται, τὸ ἀκόλαστον σωφρονίζειν ᾤετο δεῖν.*

Εἰ δὲ καλὸς οὑτοσὶ τῷ ⟨μὴ⟩ μόνον ὡρίσθαι, ἀλλὰ δὴ καὶ παρὰ τοῦ θείου νομοθέτου συγκεχωρῆσθαι, τῇ τῶν νομοθετουμένων ἀσθενείᾳ συνυποβάντος, πῶς ἂν τοῦ πρώτου γάμου καὶ τῇ παρθενίᾳ συντρέχοντος ὁ συκοφάντης κατείπειε, πονηρὸν ἀποκαλῶν, ὁ πονηρὸς τῷ ὄντι καὶ τὴν γλῶτταν ἀκόλαστος; ὅτι γὰρ καὶ ταῖς διαλεκτικαῖς ἐφόδοις κακούργως κατείληπται χρώμενος, ῥᾷστον ἰδεῖν. ὑποτίθενται γὰρ διαλεκτικῶν παῖδες, εἴ τινι φάσει φάσις ἀκολουθεῖ, καὶ τὴν ἀπόφασιν τῇ ἀποφάσει, καὶ ἐναλλάξ, εἰ τῇ ἀποφάσει τινὸς φάσις, καὶ τῇ ἐκείνης φάσει τὴν ταύτης ἀπόφασιν. λέγω γάρ, εἰ ὠφέλιμον τὸ πονεῖν, τὸ μὴ πονεῖν οὐκ ὠφέλιμον, καὶ εἰ τὸ μὴ μαλακίζεσθαι πρὸς τοὺς πόνους ἀνδρεῖον, τὸ μαλακίζεσθαι οὐκ ἀνδρεῖον. οὕτως οὖν, εἰ τὸ μὴ ἅπτεσθαι γυναικὸς καλὸν δέδεικται, ἕπεται πάντως τὸ ἅπτεσθαι | μὴ καλὸν εἶναι, ἀλλ' οὐχὶ κακόν, ὡς 24v *ὁ τοῦ ψεύδους συνήρπασε σοφιστής, εἰ μή που τὸ μὴ καλὸν αὐτίκα κακὸν οἴεται εἶναι, ὃ καὶ παῖδες κατ' ἀγορὰν καθήμενοι παίζουσιν, ἑαυτοὺς εἰς ἔλεγχον προτεινόμενοι ὡς μήτ' ἀγαθοὶ εἶεν (οὔπω γὰρ οὐδὲν αὐτοῖς τῶν ἐπαινουμένων διαπεπρᾶχθαι) μηδ' αὖ γε κακοὶ τῇ τοῦ κακύνοντος ἀπραξίᾳ. οὔκουν διαλεκτικαῖς, σοφιστικαῖς δὲ παραγωγαῖς ὁ γεννάδας κρατύνεται· ὅσον γὰρ ἐπὶ τοῖσδε οὐ καλὸν μὲν ἴσως ὑποδείξει τὸν γάμον (γάμον δὲ τὸν χείρω καὶ τοῦ τῆς πορνείας ἀφέτου συναγωγόν), πολλοῦ δὲ δεῖ καὶ κακὸν τοῦτον ἀποδεικνύναι.*

Εἰ δέ γε καλὸν τὸ κάλλιστον ἐκδεξόμεθα λέγεσθαι, — μυρίος τε γὰρ ὄχλος παραδειγμάτων ἐν οἷς ἁπλαῖς ἀντὶ τῶν ἐπιτεταμένων κεχρήμεθα λέξεσιν, ὥσπερ καὶ ἔμπαλιν,

11–17 Aristot., De interpr. 14

5 *οὑτοσὶ* Wk: *οὑτωσὶ* **W** | *μὴ* Wk: om. **W** || **22** *προτεινόμενοι* Lb: *προτεινομένοις* **W** || **31** *ὄχλος* Wk: *ὁ ἐσμὸς* Lb: *ὁ λιμὸς* **W**

τάχα δὲ καὶ ἡμῖν ὁ λόγος τὸ μὴ ἅπτεσθαι γυναικὸς κάλλιστον, ἀλλ' οὐχ ἁπλῶς καλὸν ἀποδέδειχεν· — εἰ οὖν τοῦτο, κάλλιστον δὲ φῶμεν τὸ μὴ ἅπτεσθαι γυναικός, ἕψεται μὲν 25r *τὸ ἅπτεσθαι μὴ κάλλιστον* | *εἶναι, τοῦ ἀκροτάτου καλοῦ ὑφεθέν, οὐκ ἂν ⟨δὲ⟩ τούτου καὶ πάντῃ πόρρω πίπτειν ἀνάσχοιτο.*

῾Ορᾷς, ὦ μακάριε, οἵοις διωκόμεθα τοῖς πολεμίοις; καὶ ἀεί γε τοιοῦτοι διώκοιεν. τί ἂν καὶ δράσαι τὸ ψεῦδος κατὰ τῆς ἀληθείας διιστάμενον ἢ πράσου φύλλῳ, τὸ παροιμιῶδες, δεσμεῖν ἐπιχειρήσειν τὸν λέοντα;

7–8 cf. supra p. 111,25–26 || **9–10** CPG **I 447**; **II 47**; cf. Lucian., De merc. cond. 30

5 *δὲ* Wk: om. **W** (post *ἀκροτάτου* ins. Lb) || 8 *δράσαι τὸ* Wk: *δράσαιτο* **W**

85

Νικολάῳ μητροπολίτῃ

Ad Nicolaum quendam metropolitam scribens, qui adversariis tetragamiae nuper se aggregaverat, dicit Christi providentia factum esse ut inter bonos sacerdotes et falsos discidium fieret. eo magis gaudendum esse quod Nicolaus bonorum partibus nunc se adiunxerit. quanto dolore ipse afficiatur videns gratiam Dei donis et honoribus venumdari ab iis qui iudicium divinum non timentes, ut huius saeculi praemiis fruantur omnem ecclesiam corrumpere studeant. invehitur in patriarcham, cui vinolentiam obicit, cum Baccho orbem terrarum expugnante comparans. eo impensius metropolitae congratulandum esse, qui cum Dei populo pati elegerit quaecumque impendeant, usque ad ultima supplicia. nam qui minimum mandatorum contempserit, a Dei amore secedere. peiorem autem esse pravam consuetudinem quam pravam opinionem de rebus divinis; quippe contra illam pugnantes et Maccabaeos et Ioannem Baptistam perisse. exhortatur metropolitam ut iustorum poenas quam impiorum perpeti malit. ex Arethae Op. 67 nonnulla deprompsit Nicetas. scripsit m. Dec. 906 vel m. Ian. 907, cum iam in Aretham durius agebatur (p. 159,3; 160,8; 162,27–28).

Ὅσην μὲν εὐλάβειαν ἔχων διατελεῖ παντὶ τῷ Χριστωνύμῳ πληρώματι ὁ τοῦτο τῷ ἰδίῳ κατακτησάμενος αἵματι Ἰησοῦς, ἐπὶ πολλῶν μὲν ἐναργὲς ὁρᾶν τῷ γε νοῦν ἔχοντι, οὐχ ἥκιστα δ' ἐν τοῖς παροῦσι πράγμασι. τὸ γὰρ ὅσον μὲν νόθον τε καὶ ἀλλότριον τῶν καλουμένων ἱερέων καὶ κόσμῳ μᾶλλον ἢ θεῷ προσανακειμένων τῆς οἰκείας ἀποσκυβαλίσαι μερίδος ἐλέγξαι τε καὶ φωρᾶσαι τὴν ἐνδομυχοῦσαν κακίαν τῷ ἐφεῖναι τούτοις πάθεσιν ἀτιμίας καθ' ὃ φίλον ἦν αὐτοῖς ἀναφύρασθαι, ἀντιτάξαι δὲ καὶ ἀντιστρατεῦσαι |

3–4 Act. 20, 28 || 9 Rom. 1, 26

85 W – Lb[4] pp. 7–14 || 3 *τῷ ἰδίῳ* Lb : *τοῦ ἰδίου* W

25v τοὺς ὅσοις ἀξίως ἱερᾶσθαι μεμέλητο πρός τε τὴν νῦν δαιμονίᾳ τινὶ περινοίᾳ τῷ ἡμετέρῳ βίῳ ἐπιπολάσασαν μιαρίαν καὶ πρὸς τοὺς ταύτης συνηγόρους τε καὶ συλλήπτορας, δεινοὺς μὲν τῷ τε κράτει τῆς ἐξουσίας καὶ τοῖς προτεινομένοις δεξιοῖς τε αὖ καὶ τοῖς ἐναντίοις τὸ ἀντιβαῖνον ἅπαν ὑποποιήσασθαι, δεινοὺς δὲ πιθανολογίαις συναρπάζειν πρὸς τὸν οἰκεῖον ὄλεθρον τὸ ἀντικαθήμενον, — τὸ γοῦν τοὺς πολεμήσοντας γεγενῆσθαι τῇ πονηρίᾳ καὶ ὥσπερ εἰς ἀντίπαλον μοῖραν συντεταγμένους ὑπό γε Χριστῷ στρατηγοῦντι τοῖς τῆς ἁμαρτίας προμάχοις ἀνταγωνίζεσθαι, πῶς οὐκ ἂν εἴη θείας τὸ χρῆμα παντάπασιν εὐεργεσίας, βραχέσι μὲν ὁπλίταις ἀεὶ συνασπιζομένης κατὰ τῶν πονηρῶν, λαμπρὰν δὲ τὴν νίκην κατ' αὐτῶν τούτοις παρεχομένης; μηδὲ γὰρ ἵππου δυναστείαις καὶ κνήμαις ἀνδρὸς γενναίου θεὸν εὐδοκεῖν, ἐν ἀσθενείᾳ δὲ καὶ καθαρᾷ τῇ πρὸς αὐτὸν πεποιθήσει τὸ ἄμαχον αὐτοῦ καὶ δυνατὸν ἐνδεικνύμενον. |

26r Πόσης τοιγαροῦν οἴει, μακαριώτατε, τῆς ἡδονῆς ἡμᾶς ἀναπίμπλασθαι, πόσης τῆς θυμηδίας, ὑπολογιζομένους τῶν τὴν ἱερὰν ἕνα σε φάλαγγα συγκροτούντων ὁρᾶσθαι, τῷ Χριστοῦ συντάγματι καταλογιζόμενον καὶ κατὰ τῶν λύκων ἱστάμενον, οἳ νῦν βαρεῖς τε καὶ ἄγριοι τὸ τούτου ποίμνιον σπαράξεσθαι ἐπιτίθενται, καὶ τοῦτο συῶν τρόπον οἱ αἱμοβόροι φιλονεικοῦσι λυμήνασθαι; ἀλλ' οὐκ ἐπιτεύξονται δόλιοι θήρας, ἀποπεσοῦνται δὲ τὸ τάχος τῶν διαβουλίων αὐτῶν, τῆς ἱερᾶς ἐξωθούμενοι παρεμβολῆς, καὶ ταῖς ὑπερηφανίαις ἁλώσονται ἑαυτῶν καὶ ταῖς ἰδίαις ἐνσχεθήσονται αἷς κατὰ τῶν ἀθῴων ἔκρυψαν πάγαις, ὅτι οἶκος, τὸ τοῦ προφήτου, παραπικραίνων ἐστίν.

Εἰς ὅσον μὲν οὖν αὐτοῖς προκεχωρήκει τὸ ἄτοπον καὶ ὅπως θεοῦ καὶ τῶν θείων οἱ ἐναγεῖς κατωρχήσαντο νόμων, μὴ διαστέλλοντες ἅγιον ἀπὸ βεβήλου μηδέ γε θείων καὶ ἀνθρωπίνων εἶναί τι κρίνοντες μέσον, ἀδιαφορίᾳ δὲ καθ-

13–15 Ps. 146, 10 || **20–22** Act. 20, 29 || **23–24** Prov. 12, 27 || **24–25** Ps. 5, 11 || **26** Ps. 58, 13 || **26–27** Ps. 9, 16 || **27–28** Ezech. 2, 5–7; 3, 9; 26–27; 12, 2–3 || **30** cf. supra p. 127,1–2

1 *μεμέλητο*] *με* s. l. al. m. **W** || **1–2** *δαιμονίᾳ* **Lb**: *διαμονίαι* **W**

ἅπαξ καὶ ἀκρισίᾳ τοῖς πράγμασι διαγενόμενοι, τίς οὕτω ἠλίθιος, | τίς οὕτως ἀλόγιστος ὃς οὐ μακρὰ καταγινώσκει 26v *καὶ μωμᾶται καὶ γέλωτα ποιεῖται τοὺς ἀθεμίτους; ἐμοὶ δὲ δακρύων ὑπόπλεῳ συνεχῶς οἱ ὀφθαλμοὶ καὶ δεινῶς ἀλύειν καὶ ὀδυνᾶσθαι καὶ κατατήκεσθαι τὴν ψυχήν, λογιζομένῳ τοὺς ταλαιπώρους πρὸς τῇ λοιπῇ τῶν ἱερῶν ἀθετήσει κανόνων καὶ τῇ πλήξει τοῦ συνειδότος ἑαυτῶν τε καὶ τῶν ὅσοι τούτοις προσέχουσιν, ἔτι καὶ μισθοῦ τὴν τοῦ θεοῦ χάριν προϊεμένους ἁδρῶν τε δώρων καὶ ἀξιώσεων (φεῦ τῆς αὐτῶν μιαιφονίας) πιπράσκοντας τὰ ἀτίμητα, καὶ μὴ τοῦ Πέτρου, τοῦ κορυφαίου τῶν Ἰησοῦ μαθητῶν, τοῦ δ' Ἰσκαριώτου τὸν τρόπον δεικνύντας ἐπὶ τῶν ἔργων. οἳ τὸν καιρὸν ἕρμαιον ἡγησάμενοι πρὸς τὸ τὰς σφῶν αὐτῶν βδελυρὰς ἀναπλήσειν ἐπιθυμίας τῆς τοῦ κρατοῦντος εὐηθείας ἀπλήστως κατατρυφῶσιν, ἐκείνῳ μὲν παντάπασιν ἐνδιδόντες θεοῦ ἀμνηστεῖν καὶ διὰ τῆς σοφῆς αὐτῶν οἰκονομίας ἀνενδότως ἐφιέντες ὑπηρετεῖσθαι τοῖς πάθεσιν, ἑαυτοῖς δὲ τὰ τίμια τῶν κα|τ' ἀνθρώπους οἰκονομούμενοι,* 27r *τὸ δ' ὑψηλὸν τοῦ ἱερέως ἀξίωμα καπηλεύοντες. οἵ γε τὰ αἴσχιστα διαπεπραγμένοις ἑαυτοῖς συνειδότες, τὴν δ' ἐνταῦθα τούτοις ἀπειλουμένην θεοῦ μῆνιν ὑποβλεπόμενοι (τίς γὰρ αὐτοῖς τῆς ἐλπιζομένης φροντίς;) ἅπαντα δρῶσι καὶ πραγματεύονται κοινωνοὺς ἅπαντας συλλαβέσθαι τοῦ πτώματος, καὶ ταύτῃ γε δὴ τὴν δίκην οἱ μάταιοι φρεναπατώμενοι παραλογισθήσεσθαι, ὡς μή τινος ὑπολειφθησομένου τοῦ τῆς ἀγέλης τούτους ἐξελάσοντος τοῦ Χριστοῦ, οὐδὲ τοσοῦτον γοῦν ἐννοηθῆναι οἷοί τε γενόμενοι ὅτι, καθάπερ Χριστὸν τὴν ἀλήθειαν ἀμήχανον διαψεύσασθαι, οὕτως οὐδὲ τὴν αὐτοῦ ποτ' ἐκκλησίαν διαπεσεῖσθαι, ἐπ' αὐτῷ τῇ πέτρᾳ τῇ ἀκλινεῖ ἀδαμαντίνως ἐρηρεισμένην καὶ ἀρρεπῶς. εἰ γὰρ μὴ τοῦτο, μηδὲ τὸ τοῦ μέλλοντος*

29–31 Mt. 7, 24–25; 16, 18

1 *διαγενόμενοι* Wk: *-ομένοις* **W** || **13** *οἳ*≡ **W** | *ἡγησάμενοι* Lb: *ἡγησαμένοις* **W** || **18** *οἰκονομούμενοι* Lb: *-ουμένοις* **W** || **21–22** *ὑποβλεπόμενοι* Lb: *-ομένοις* **W** || **25** *φρεναπατώμενοι* Lb: *φρεναπατουμένοις* **W** || **27** *γενόμενοι* Lb: *γενομένοις* **W**

αὐτοῖς ἐπεισῄει δέος, τοῖς δ' ἑαυτῶν ἔργοις τὸ θαρρεῖν εἶχον, τίς ἀνάγκη παρέχειν ἑαυτοῖς τυραννίδα κατὰ τῶν μὴ τοῖς αὐτῶν στοιχούντων βουλήμασι συρρηγνυμένοις, καὶ μὴ τὸ Ἰησοῦ φιλάνθρωπον καὶ ἀβίαστον ἐζηλωκόσι 27v ταῖς | ἰδίαις ἕκαστον γνώμαις ἐᾶν ἐμφιλοχωρεῖν; ἀλλὰ δῆλοί εἰσι πάντως ἀποπεπτωκότας τοῦ ὀρθοῦ λόγου πάντας ἔχειν μεθ' ἑαυτῶν μηχανώμενοι, ὡς ἂν τὸν τῆς κακίας διαδιδράσκωσιν ἔλεγχον.

Τίς οὖν οὕτω θεοῦ ὀλιγώρως ἔχων καὶ καταφρονητικῶς τοῖς τοιούτοις συμφέροιτο, τῆς αὐτῶν μεθέξων βδελυρίας παραπλησίως; τίς οὕτω σκαιός, οὕτω τὰ θεῖα ἀπαίδευτος, μᾶλλον δὲ τίς οὕτω μεμίσηκεν ἑαυτὸν ὡς ὀλέθρῳ αἰσχίστῳ περιπεῖραι καὶ προφανεῖ καὶ συγγνώμης ἁπάσης ἀπαγαγεῖν τῷ τοῖς θεοκαπήλοις ἑαυτὸν ἀναμῖξαι, θεοῦ ὡς πορρωτάτω γενόμενον; πῶς γὰρ ἂν ἔτι πλησιάζοι θεῷ ὃς εἰς τὴν ἐναντίαν αὐτῷ μοῖραν ἀντικατέστη, τοῖς κατ' αὐτοῦ συναγελάζων ἐξυβρικόσι καὶ συντατττόμενος; τὸν γὰρ μὴ μετ' αὐτοῦ κατ' αὐτοῦ πάντως εἶναι, αὐτοῦ τοῦ θεοῦ λόγου φωνή. πῶς οὖν οὗτοι μετ' αὐτοῦ δύναιντ' ἂν εἶναι λέγειν, μᾶλλον δὲ πῶς οὐ κατ' αὐτοῦ πάντα δρᾶν καὶ προθυμεῖσθαι συσκευάζεσθαι πικρῶς οὑτωσὶ καὶ σφοδρῶς πρὸς 28r τοὺς αὐτοῦ | νόμους ἀπολακτίσαντες καὶ τὸ πάντιμον τῆς ἱερωσύνης καὶ ἐξαίρετον ἀτιμώσαντες ἔργον, ἀπωσάμενοι μὲν ἑαυτῶν οἷς ἐπιμελὲς ἁγιότητος νόμος καὶ Χριστιανοῖς προσήκουσα καθαρότης, ἑαυτοῖς δὲ περιποιησάμενοι κεφαλὴν οὐ προηγουμένην ἐφ' ἃ δεῖ. τίς ἂν καὶ εἴη ταύτη συνέσεως ἀρχικῆς λόγος, ἣν φιάλαι καὶ ψυκτῆρες συγκροτοῦσι καὶ κώθωνες καὶ ὁ τούτοις ἐκχεόμενος ἀνθοσμίας, οὕτως προσφερόμενος ἀνενδότως ὡς μηδὲ τὸ οὖς ἄγειν σχολὴν κνήσασθαι, φασίν, μή τί γε δὴ ἄλλο πράξειν ἔχειν τῶν λόγου καὶ σπουδῆς ἐχομένων, ἐπικλινομένην δὲ

17–19 Mt. 12, 30 || **29–30** Lucian., Bis accus. 1 || **31**–p. 159,1 Mt. 11, 7; Lc. 7, 24

6 *ἀποπεπτωκότας* Wk: *-ες* **W** || **7** *μηχανώμενοι* Hansen: *-ωμένοις* **W** || **10** *μεθέξων* Lb: *-εων* **W** || **16** *ἀντικατέστη* Lb: *ἀντεκατέστη* **W** || **23** *ἀπωσάμενοι* Lb: *ἀπωσαμένοις* **W** || **25** *περιποιησάμενοι* Lb: *-σαμένοις* **W**

καὶ μεταφερομένην κατὰ τοὺς καλάμους; οὐ γὰρ ἔχειν στηρίξεσθαί ποι· πῶς γάρ, ὅλη γε τῇ μέθῃ παράφορος οὖσα κἀκεῖ μεταρρέουσα ἔνθα προκαλοῦνται πόδες; πόδες ὀξεῖς ἀθῷον ἐκχέαι αἷμα, οὐχ ὡραῖοι, ὅτι μηδ' εἰρήνην μηδ' ἄλλο μηδὲν ἀγαθὸν εὐαγγελιζομένους, ἀλλὰ κατὰ θεοῦ νόμων, ἴσον δὲ εἰπεῖν καὶ θεοῦ πόλεμον διὰ σπουδῆς ἀναιρουμένους ἴδοις ἄν, ὦ μακάριε.

Καὶ γὰρ σπουδῆς μεταξὺ | παίξομαι περὶ Διόνυσον τὸν 28v *Διὸς καὶ Σεμέλης πάλαι παισὶν Ἑλλήνων μυθολογούμενον ἐπὶ τῶν πραγμάτων τούτοις παιζόμενον δρᾶμα. τὸν μὲν γὰρ ἐπειδή φασιν ἄρτι τὴν τοῦ οἴνου χρῆσιν ἐξευρόντα τῷ βίῳ παρεισαγαγεῖν ἐθελῆσαι, ὀπαδοὺς ἑαυτῷ καὶ θιασώτας ἀξίους τοῦ ἐπιτηδεύματος συνειλοχότα, οὓς σατύρους τε καὶ σιληνοὺς ἐκείνοις ἔθος καλεῖν, καὶ τούτοις τὸν οἰκεῖον χορὸν συνταξάμενον ἐκστρατεῦσαί τε ⟨κατὰ⟩ τῆς οἰκουμένης καὶ ταύτην ἑλεῖν τε καὶ παραστήσασθαι, πλὴν ὅσον οὐδὲν ἀνδρῶδες ἐπιδεδειγμένον ἢ γεννικόν, ἁβρότητι δὲ πάσῃ καὶ θρύψει καὶ μαλακίᾳ, πρὸς δὲ μέθῃ καὶ παραφορᾷ καὶ τοῖς ἀνδρογύνοις λυγίσμασιν ἑαυτοῦ τε καὶ τῶν συνομιλητῶν ἅπαν τε χειροῦσθαι τὸ ἐμποδὼν καὶ μέχρι τῆς Ἰνδικῆς προελθεῖν, οὕτως ὁ μανιώδης ἐκεῖνος ὅπλων χωρὶς κατὰ πάντων εἶχε διὰ μέθης τὸ κράτος. τό τε νῦν καθ' ἡμᾶς δρώμενον οὐδὲν ἀλλ' ἢ τοῦθ' ὑποβάλλει λογίζεσθαι, τὸν μὲν αὐτοῖς τῆς καλῆς ταυτησὶ προηγεῖσθαι στρατηγίας ἢ στρατιᾶς | κατὰ τὸν ἐκ Σεμέλης πάντας* 29r *ὑπερβαλέσθαι τῇ κραιπάλῃ φιλοτιμούμενον, τούς δέ γε καλοὺς ἡμῖν κἀγαθοὺς θιασώτας καὶ ὀπαδοὺς εἰς Βακχικὴν φάλαγγα συντεταγμένους τὸ πομπικὸν σύνταγμα συμπληροῦν, ὡς καὶ ἐπ' Ὠκεανὸν ἢ τῶν Αἰθιόπων τοὺς ἀπωτέρω ὀξέως ἄγαν ἐφέπεσθαι, εἰ δεήσειε, μόνον ἔστω τις ὁ πρὸς λαμπρὰν ἑστίασιν προσκαλούμενος. ἔχει δ' οὖν ὅμως τι καὶ παραλλάττον ἡ παιδιά· τοῖς περὶ Διόνυσον μὲν γὰρ*

3–4 Ps. 13, 3; Rom. 3, 15 || **4–5** Rom. 10, 15

2 *ὅλη* Wk: *ὅλῃι* **W** || **5** *εὐαγγελιζομένους* Lb: *-οις* **W** || **7** *ἀναιρουμένους* Lb: *-οις* **W** || **15** *κατὰ* Lb: om. **W** || **16** *παραστήσασθαι* Wk: *περιστ.* **W** || **25** *Σεμέλης* Lb: *σελήνης* **W**

*τοῖς ἀγεύστοις μεταδοῦναι τοῦ πόματος ἡ πᾶσα σπουδὴ
καὶ ταύτῃ τοῦ τόνου παραλυθέντας ὑπὸ χεῖρα σφῶν ἄγειν·
οἱ δὲ καθ' ἡμᾶς οὗτοι μῖμοι καὶ βωμολόχοι καὶ Σαρδανά-
παλλοι πᾶσαν εἴ τις δύναμις ἦν τὴν τοῦ οἴνου ἀπόλαυσιν
ὡς μὴ ἂν ἄλλῳ ὑπολειφθῆναι πρῶτον ἆθλον ἐκροφῆσαι
ποιούμενοι, δεύτερον οὐ φαυλότερον τοῦ προτέρου θήρατρα
καὶ πάγας ἱστᾶν εἰς τὸ θηρεῦσαι καὶ συλλαβέσθαι ψυχὴν
καὶ ἀθῷον αἷμα καταδικάσεσθαι. οὕτω τὰ θεῖα πέπαικται,*
29v *οὕτω γεγέλασται τὰ Χριστιανῶν, οὕτω τὰ ἱερὰ | καὶ τίμια
τοῖς ὑβρισταῖς περιύβρισται ὄργια. ταῦτα καὶ ἡμᾶς δέον
ἀπολοφύρεσθαι μὲν ὁρῶντας καθ' ἡσυχίαν, οἰκτείρειν δὲ
καὶ ἐπικλᾶσθαι ταῖς ἀνθρώπων παρατροπαῖς, κἂν εἰ μή
τινι ἄλλῃ διορθοῦσθαι δυνατὸν περινοίᾳ, εὐχαῖς γοῦν ἡσυχῇ
τὸ θεῖον ὑπὲρ αὐτῶν ἱλεοῦσθαι κἂν τούτοις τὸ διαπῖπτον
ἀνασηκοῦν.*

*Ὅμως εἰς τήνδε κατ' ἀνάγκην περιηνέχθημεν τὴν κατα-
δρομήν, ὑμῖν ὑποδεικνύντες οἵας ἀπεσχίσθης διατριβῆς,
οἵας συναγωγῆς (οὐδὲ γὰρ ἐκκλησίαν ἔτι καθῆκεν οὕτω
καλεῖν τὴν οὕτω κατὰ τοῦ συγκροτήσαντος ἀναιδευσα-
μένην), οἵας συμμορίας πονηρίαν ἐργαζομένης, ἧς οὐκ ἔτι
μετὰ τῶν ἐκλεκτῶν συνδυάσεις, εὖ οἶδα, εἰς θεοῦ παρά-
ταξιν ἀριθμούμενος καὶ βραχέσι μὲν ἴσως ὁπλίταις, πολλῷ
δὲ κρείττοσι μυριάδων καταλεγόμενος. σπάνιον γὰρ τὴν
τοῦ ἀγαθοῦ κτῆσιν καὶ τοῦ θεοῦ ὀλίγους εἶναι τῷ πλήθει,*
30r *εἰ καὶ τῇ τιμιότητι προὔχοντας καὶ τοσούτῳ μᾶλλον | ὅσῳ
τρυφῆς καὶ κολακείας καὶ τῆς ἐν ἀνθρώποις ἄλλης ἀπηλ-
λαγμένοι χλιδῆς σκληραγωγίᾳ τῇ πάσῃ καὶ φυγαδείᾳ καὶ
σώματος ἀνεπιμελησίᾳ ζῆν διεγνώκεσαν, οἷς ἐν οἴκῳ θεοῦ
παραρριπτεῖσθαι μᾶλλον ἢ σκηνώμασιν ἁμαρτωλῶν ἀγα-
πᾶν ἐναυλίζεσθαι. οἷς οὐδὲ γὰρ ἔτι σαρκὶ ζῆν ἀνεκτόν,
πρὸς τὸ πνεῦμα μετατεθεῖσι, μὴ μόνον τοῦ καταπτύστου
δοξαρίου καὶ τῆς παιζούσης τιμῆς καὶ τῆς ψευδομένης*

7–8 Ps. 93, 21 || **28–30** Ps. 83, 11

6 *ποιούμενοι* Lb: *ποιουμένοις* **W** || **16** et ante et post *ὅμως* dist. **W** || **24** *τοῦ*[2]] leg. *τούς*? || **26–27** *ἀπηλλαγμένοι* Wk: *-οις* **W**

εὐημερίας φροντίζειν καταφρονεῖν, ἀλλὰ δὴ καὶ μάστιξ ὠμῶς ἐπανατεινομένη καὶ χρόνιος κάθειρξις καὶ θάνατος αὐτὸς ὁ βιαιότατος τρυφῆς ἁπάσης ἡδίω καὶ ποθεινότερα, ὑπέρ γε Χριστοῦ καὶ τῆς ἐντολῆς προτεινόμενα. τίς γοῦν οὕτω μακάριος, οὕτω τρισόλβιος ὡς διὰ Χριστὸν πᾶσαν ὑπέχειν δίκην τοῖς τυραννεῖν ἑλομένοις, τίς δ' οὕτως αὐτῷ δι' ἀρετῆς προσῳκείωται ὡς χάριτος κατευμεγεθῆσαι τοιαύτης, κατὰ τὰς τοῦ Ἐπικούρου ἀτόμους, εἰ οἷόν τε, κατακερματισθῆναι τὰς σάρκας καὶ λικμηθῆναι ἢ θηρίοις ὑπὲρ αὐτοῦ δοθῆναι βορὰν ἢ ὅλως | 30v τῶν παθῶν αὐτῷ κοινωνῆσαι τῶν σωτηρίων; ἴσον δέ (τίς ἀντερεῖ λόγος;) ὑπέρ τε θεοῦ ὑπέρ τε τῶν τούτου νόμων τοῖς μιαιφόνοις συμπλέκεσθαι. ἐπεὶ καὶ τῶν ἐντολῶν ἑκάστη, κἂν ἐλαχίστη δοκῇ, μεγίστην πρὸς τὴν ἀγάπην τοῦ κτίσαντος παρέχεται τὴν ῥοπήν, ὥσπερ αὖ ὁποιασοῦν ὑπεροραθείσης κινδυνεύει ταύτης ὁ σύνδεσμος διαρρήγνυσθαι. ὅθεν ὁ κύριος οὐ μόνον τὸν αὐτὸν ἐκεῖνον ἐνταῦθα ἐπαισχυνόμενον, ἀλλὰ καὶ τὸν τοὺς αὐτοῦ λόγους, ἔμπροσθεν τοῦ πατρὸς ἐπαισχυνθήσεσθαι διηπείλησεν. ἐνδείᾳ γὰρ καὶ ὑφέσει τῆς ἀγάπης ἡ λύσις ἐκ τῆς ἐντολῆς παρυφίσταται· ἀσθενούσης δ' ἐν ἡμῖν ἐκείνης ἔκστασίς τε καὶ μακρυσμὸς τοῦ καλοῦ παρακολουθεῖ, ὡς ἐντεῦθεν κοινωνίας ἀπορρηγνυμένους τοῦ ἀγαθοῦ ῥᾷστα κατὰ πρανοῦς φέρεσθαι τῆς κακίας. οὔτε γὰρ ἐν λόγῳ διακένῳ τε καὶ ψιλῷ τὰ τῆς σωτηρίας ἡμῖν, ἀπεναντίας θεοῦ κεχωρηκόσι τοῖς πράγμασιν, οὐθ' οἷόν τε θεῷ συγγενέσθαι, τῷ ἀκραιφνεστάτῳ νῷ καὶ καθαρωτάτῳ, μὴ τὸ | 31r παχὺ καὶ φορτικὸν λεπτυναμένους φρόνημα τῆς σαρκὸς συχνοῖς τε πόνοις τοῖς ὑπὲρ ἀρετῆς καὶ ἱδρῶσι κακώσεσί τε καὶ θανάτοις αὐτοῖς, εἰ δεήσειεν.

Εἰ δὲ καὶ αἱρέσεις ἐν ἡμῖν εἶναι δεῖ, κατὰ τὸ Χριστοῦ στόμα Παῦλον, ὡς ἂν οἱ δόκιμοι γένωνται φανεροί, πότ' ἂν μᾶλλον ἢ νῦν οἱ τοῦ Χριστοῦ δοκιμάζοιντο, ὅτε μὴ περὶ

13–16 cf. Mt. 5, 19 || **16–19** Mc. 8, 38; Lc. 9, 26 || **30**–p. 162, **11** cf. supra p. 58,9–60,26 || **30–31** 1 Cor. 11, 19

27 τὸ Wk: τῶι **W**

λόγους καὶ δογμάτων ἀμφιβολίαν τὴν πάλην συνίστασθαι, ἐν οἷς καὶ ἄγνοια πολλάκις τοῖς ἁμαρτάνουσι τὸ σύγγνωστον ἐνεποίησε, περὶ δὲ πρᾶξιν ἄσεμνόν τε καὶ μιαρὰν καί, τὸ τοῦ νομοθέτου δὴ φάναι, κτηνώδη καὶ πάντῃ τοῦ τῶν ἀνθρώπων γένους ἀλλότριόν τε καὶ ὑπερόριον, ἡνίκα καὶ ἄγνοια παρείσδυσιν οὐκ ἔχει τοῖς ἁμαρτάνουσι, καὶ τοῖς ὑποσκελιζομένοις εἰς καταδοχὴν τοῦ ῥυπάσματος τὸν ἴσον τοῖς ἡμαρτηκόσι θεῖοι καὶ ἱεροὶ κανόνες ὄλεθρον ἐπισείουσιν. ὅσῳ γοῦν πρᾶξις ἐναργεστέρα λόγου, τοσούτῳ χεῖρον πράξεως κοινωνῆσαι χωριζούσης θεοῦ ἢ δογμάτων μὴ πρὸς ἀλήθειαν ἐξενηνεγμένων. Μακκαβαίοις δὲ τίς ἄρα 31v *πρόφασις τοῦ θανάτου, οὕτω βιαίου καὶ ὠμοτάτου; | ἆρα οὐ φυλακὴ εὐτελῶν τινῶν καὶ μετρίων, πατρίων δὲ ὅμως ἐθῶν; τί δαὶ καὶ ὁ ἐν γεννητοῖς γυναικῶν ὑπὲρ ἅπαντας; ἆρα οὐχὶ σεμνότητος χάριν καὶ σωφροσύνης ξίφει τῶν σαρκίνων δεσμῶν ἀπελύετο; οὐκ ἂν γὰρ ** ἐκεῖνος καὶ θαυμάσιος ἄγγελος μικρᾶς τινὸς ἀφορμῆς ἀλογίστως προεῖτο τὸ ζῆν, ἀλλὰ τοῦ παρόντος καιροῦ φθάσας ἐν ἑαυτῷ τὸ δρᾶμα προετύπωσεν, ὁπόσην ὑπὲρ σωφροσύνης εἰσφέρειν χρὴ τὴν ἔνστασιν καὶ τὴν παρρησίαν τῷ καθ' ἑαυτὸν ὑποδεικνὺς παραδείγματι. τίς οὖν πρὸς ἐκεῖνον ὁρῶν οὐκ ἂν ἀλογήσῃ τῆς παρούσης ζωῆς, ὅλος πρὸς τὴν μίμησιν ἐγειρόμενος καὶ κατὰ τῆς καινοτομηθείσης ἀντιστρατεύσαιτο παρανομίας; τίς δαὶ ἄνθρωπος ἀνάσχοιτ' ἂν Ἡρώδῃ συμποσιάζειν καὶ τῶν παρ' ἐκείνου μετέχειν καλῶν, οὕτω μιαρῶς ζῆν αἱρουμένῳ καὶ ψυχρᾶς ἡδονῆς ἕκατι εἰργμῷ καὶ μάστιξιν αἰκίζοντι βαπτιστήν (οὔπω γὰρ λέγω αἱμάτων τούτου κατατρυφῶντι), ἢ ὅστις πρὸς τὸν ἐκείνου τρό-*

4–5 Bas., Ep. 217, can. 80, PG 32, 805A14–B1 || **11–p. 163, 3** cf. supra p. 61, 19–24 || **11–14** 4 Macc. 5–18 || **14** Mt. 11, 11; Lc. 7, 28 || **15–16** Mt. 14, 3–11; Mc. 6, 17–28

16 lac. sign. Wk (in fine lin. **W**), supple ex. gr. *ὁ μέγας* || **25** *συμποσιάζειν* Wk: *συμποδιάζειν* **W**

πον ἑαυτὸν παρασκευασάμενος θεοῦ μὲν ἧκεν ἐς παντελῆ λήθην, | 32r μᾶλλον δὲ τὴν γαστέρα θεοποιῶν ταύτῃ διαπεπονημένως καὶ τὴν θεραπείαν ἀποπληροῖ;

᾿Αλλ᾿ οὐχ ὁ ἐμὸς οὕτω δεσπότης, θεοῦ δ᾿ ἑαυτὸν ἐξαρτήσας ἄγαν ἐπιμελῶς, ἐξ οὗ πᾶσα βούλησις καὶ ἐνέργεια χορηγεῖται τῶν ἀγαθῶν, καὶ καθ᾿ ὅσον οἷόν τέ ἐστι καὶ αὐτὸς χαρίζεται ὅλος ἑαυτοῦ καὶ τοῦ δυναμοῦντος γεγενημένος θεοῦ, τοῖς ἐπιπόνοις μᾶλλον τῆς σαρκὸς ἐμφιλοχωρήσεις πρὸς διαρκεστέραν θεοῦ συντεινόμενος θεραπείαν, τραύματα δὲ καὶ ξιφῶν ἀκμὰς καὶ ξεσμοὺς καὶ μάστιγας καὶ πᾶσαν ἄλλην αἰκίαν καὶ φυγαδείαν, ἀλλὰ καὶ ζωῆς αὐτῆς βιαίαν ἀσπάσῃ ἀπόρρηξιν ὡς βασιλείας κρείττονος πρόξενα καὶ ἀνωλέθρου ἤ τι κἂν ἐπ᾿ ἐννοίας μὴ καθ᾿ ἱερέα λήψῃ θεοῦ· πρὸς δὲ τὸν ὑμέτερον πτερνιστὴν καὶ πρὸς ἁμαρτίαν ὑμᾶς προκαλούμενον μέχρις αἵματος ἀντισταίης ὑπό γε Χριστῷ τῶν πόνων συλλήπτορι, ὀλέθριον τὴν ἧτταν ἡγούμενος καὶ ὄντως θρήνων ἐπάξιον, καθ᾿ ὅσον, τὸ πάντων ἐλεεινότατον, μακρύνει θεοῦ καὶ τῆς μελλούσης τὰς ἐλπίδας μακαριότητος ὑποτέμνεται καί, τὸ δὴ μετρι|32v ώτατον, οὐδὲ τῆς ἐνταῦθα δόξης ἀπόνασθαι συγχωρεῖ, ἀβίωτον δὲ τὸν βίον ἡμῖν καὶ ἀτιμότατον ἀπεργάζεται καὶ τριωβόλοις ἀνθρώποις διαπαιζόμενον καὶ καταγελώμενον. ἀτιμοῦσθαι γὰρ τοὺς ἐξουθενοῦντας θεόν, ὥσπερ δοξάζεσθαι τοὺς δοξάζοντας, ἵνα μὴ λέγω ὅτι καὶ κακίας μετὰ τῶν ἀγγέλων — ἀλλ᾿ ἀπείη μοι λέγειν — τοῖς ἑξῆς παράδειγμα γενησόμεθα, ὃ πάντων τῷ γε νοῦν ἔχοντι χείριστον. νικήσαντες δὲ χρηστῷ πάνυ καὶ πεπαρρησιασμένῳ τῷ συνειδότι βιώσομεν, ἐν ἑαυτοῖς τε τὸν θεὸν ἁγιάσαντες καὶ τὸ θεῖον ἀξίωμα μὴ νοθεύσαντες ἁγιασθησόμεθα ὑπ᾿ αὐτοῦ κρειττόνως ἢ νοῦς ἀνθρώπινος καταδράξασθαι δύναται.

2 Phil. 3, 19 || **5–6** Phil. 2, 13 || **7–8** Ps. 67, 29 || **14–15** Heb. 12, 4 || **22–24** 1Reg. 2, 30 || **28** 1Petr. 3, 15

86

111r *Παύλῳ ἡγουμένῳ καὶ θείῳ*

Cum Paulus patruus (vel avunculus) monuisset, ne propter tetragamiam manifesto periculo se obiceret, profitetur se neque ingratum neque contumacem esse; Aretham vero magistrum, virum omnibus virtutibus ornatum, unice sincerum, sapientem, pium, deserere fas sibi non esse, ea praesertim tempestate qua contra totum mundum temperantiae causam susceperit. eodem fere tempore scripta quo sequens epistula, id est circa Nativitatem Domini a. 906.

Σὺ μέν, ὦ μακάριε πάτερ, σπλάγχνοις εὖ οἶδα πυρούμενος πατρικοῖς καὶ τῆς συνήθους περὶ ἡμᾶς προνοίας οὐκ ἐξιστάμενος (καὶ γὰρ ὡς ἀληθῶς εἶ φιλότεκνος ὡς οὐκ οἶδ' εἴ τις ἀνθρώπων) οὐκ ἀνίης ἐγκείμενος εἰσηγούμενός τε ἡμῖν ἐν πᾶσί τε τὸ λυσιτελοῦν ὡς ἧκεν ἐς τὴν ὑμετέραν προμηθούμενος κρίσιν τε καὶ σπουδήν· ἓν δὲ καὶ τοῦτο τῶν καλῶν ὑμῶν παραινέσεων, μὴ ἐς προφανῆ κίνδυνον ἑαυτὸν καθιέναι μηδ' ἀλογίστῳ τινὶ καὶ ἀμέτρῳ κεχρημένον φιλίᾳ πρὸς τὸν διδάσκαλον λαθεῖν ἑαυτὸν κακοῖς περιπείραντα τῷ τε συνεχῶς φοιτᾶν παρ' αὐτὸν καὶ τῷ δοκεῖν ὥσπερ τῆς ἐξουσίας ὀλιγωρεῖν τοῦ κινδύνου παραπολαύσαντα.

Ἐγὼ δὲ πῶς ἄρα πρὸς τὰς ὑμῶν διαγίνομαι συμβουλίας; ἆρα λῆρος ἐμοὶ παραίνεσις πατρική; ἆρα γελᾶν μοι δοκῶ τὴν διάταξιν; οὐδαμῶς· οὐχ οὕτω σκαιός, οὐχ οὕτως εἰμί, φορτικῶς εἰπεῖν, ἀπαίδευτος ἐγώ, οὐδ' εἰς τοσαύτην

W 86 – Lb[3] pp. 189–191 || **3** *περὶ* Lb: *παρὰ* **W** || **6** *ὡς* Lb: *ὃς* **W** | *ὑμετέραν* Wk: *ἡμετέραν* **W** || **9–10** *κεχρημένον* Lb: *κεκτημένον* **W** || **12–13** *παραπολαύσαντα* Lb: *-λαύσαν* **W** || **17** *φορτικῶς* Lb: *-ῶν* **W** | *οὐδ'* Wk: *εἰ δ'* **W**

χωρήσειν ἀπόνοιαν συγχωρήσει θεός, ¦ ὥς τινος τῶν ὑμετέρων ἀλογίστως καταφρονεῖν ἐντολῶν, κἂν τῶν ἐλαχίστων οὖσα τύχῃ· οὐδὲ γὰρ οἷόν τε τοσούτων ἀμνηστεῖν εὐεργεσιῶν, εἰ μὴ πάντῃ τὰς φρένας λοιπὸν παρακόπτοιμεν. 111v

Ἀλλὰ τί πάθω, τίς γένωμαι; ἀνάγκη γάρ τις ἑτέρωθεν ἀπαραίτητος καὶ δεσμὸς ἀδαμάντινος τῆς τοῦ ἀνδρὸς ἐφέλκεται ἀρετῆς, συνδέων μὲν αὐτῷ καὶ συμπιέζων ἀσφαλῶς ἄγαν, τὴν δὲ λύσιν οὐκ ἐνδιδούς· καί ποτε πειραθέντα κἂν σώματι τοῦ ποθουμένου βραχὺ γοῦν διαστῆναι (βιάζῃ γὰρ ἐντελλόμενος) ἐτυράννησε μᾶλλον ὁ πόθος ἀντισπῶν καὶ μεθέλκων πρὸς ἑαυτὸν καὶ συνάγων πρὸς τὸν ἐρώμενον. οὐ βραχὺς ἐξ οὗ χρόνος γενναίας ἀρετῆς τοῦ ἀνδρὸς πεπειράμεθα. ἔδοξεν οὖν ὁμιλίᾳ συχνῇ καὶ συνουσίᾳ τελεωτέρᾳ τὸ ταύτης ἐν αὑτοῖς ἀπογράφεσθαι κάλλος. πολλῶν γὰρ ὄντων ἡμῖν καὶ μεγάλων ἃ τὸ πρὸς αὐτὸν συνεκρότησε φίλτρον, τό τε ταῖς ἀρχαῖς τῶν καλλίστων ἡμᾶς ἐπιστῆσαι ἐπιστημῶν ¦ καὶ τὸν νοῦν τῆς παντελοῦς χαμαιζηλίας ἀνασηκοῦν, συντείνειν δὲ πρὸς τὴν τῆς ἀληθείας ἀνάληψιν, τεχνοῦν δὲ τὴν διάνοιαν, παιδεύειν δὲ φρόνησιν, πρὸς ἀνδρίαν δὲ τὸ μαλθακὸν τῆς ψυχῆς καὶ νηπιῶδες διανιστᾶν, τοῦτο κράτιστόν τε καὶ περιφανέστατον ἔμοιγ' οὖν εἰς φιλίαν, ἡ τοῦ ἀνδρὸς ἀρετή. ἀνὴρ γὰρ ὁ φιλούμενος ἁπλοῦς μὲν τὸν τρόπον καὶ ἀκατάσκευος, πολυειδὴς δὲ τὴν σοφίαν καὶ φρόνησιν· φρόνησιν οὐχ ὅσης δεῖ πρὸς τὸ τῷ φρονοῦντι μόνον περιποιήσασθαι τὸ λυσιτελοῦν, ἀλλὰ καὶ ὅση πρὸς τὴν τῶν ἐντυγχανόντων ὠφέλειαν ἀποτείνεται· πάσης δὲ διπλόης ἐλεύθερος, πάσης δὲ ὑπόπλεως χάριτος, εὐσεβείας, εὐλαβείας, ἀγχινοίας, ὀξύτητος, ἀληθείας, παρρησίας, πάσης συνελόντι φάναι μεστὸς καλοκἀγαθίας. τούτοις οὖν τοῦ συνδέσμου κατασκευαζομένου, ἆρά τι ἔσται τὸ διακόψαι δυνάμενον; ἐγὼ μὲν οὐκ οἶμαι. εἰ γὰρ ἀνθρω- 112r

1–3 cf. Mt. 5, 19

3 *τοσούτων*] ex *τούτων* **W** ‖ **14** *αὑτοῖς* Wk: *αὐτοῖς* **W** ‖ **17** *παντελοῦς*] *εὐτελοῦς* **W** ‖ **20** *δὲ τὸ* Wk: *δέ τι* **W** ‖ **24** *ὅσης* Wk: *ὅση* **W** ‖ **30** *ἆρά τι* Wk: *ἆρα τί* Lb: *ἄρα τί* **W**

*πίνη τις οὕτω δὴ τὸ πρὸς τὸν διδάσκαλον φίλτρον, ὦ
πάτερ, ἐξέκαυσεν ἀφορμὴ ἢ χρεία ἐπείγουσα, καθ' ἣν ὡς*
112v *ἐπίπαν οἱ πολιτικοὶ φιλεῖν ἐπαγγέλλονται, | ἢ τὸ πρὸς τὰς
αἰσθήσεις ἡδύ (καὶ γὰρ οἶδε καὶ τοῦτο συνδεῖν τοὺς ἀν-
θρώπους, ἔστ' ἂν δηλονότι παρῇ), τίς ἂν δευτέρας ἠνέ-
σχετο συμβουλῆς, ἐξὸν τοῦ καιροῦ γενόμενον καὶ αὐτὸν
ὑποστεῖλαί τε ἑαυτὸν καὶ τὸν ἀπὸ τῆς ἐξουσίας ἐπανατει-
νόμενον φόβον προφασισάμενον λῦσαί τε τὸ φίλτρον καὶ
πόρρω τοῦ φιληθέντος καθίστασθαι; ἐπεὶ δὲ τούτων οὐδέν,
ἀρετὴ δὲ καὶ τὸ καλὸν αὐτὸ τὸν δεσμὸν ἡμῖν ἐνεποίησε
τοῦτον, δεσμὸν παντὸς ἀδάμαντος ἰσχυρότερον, πῶς οὐκ
ἂν εἴη μόνιμά μοι τὰ τῆς φιλίας ταύτης καὶ ἄλυτα καὶ
πρὸς πᾶν τὸ διαιροῦν ἄγαν σκληρῶς ἀντιβαίνοντα; τίς δ' ἂν
ἄλλη ταύτης διημαρτηκόσιν ἡμῖν καταλίποιτο; οὐδὲ γὰρ
ῥᾷον ἐντυχεῖν ἐστὶ φίλῳ μὴ πλάσμα μόνον φιλίας, ἀλλ' οὐκ
ἀλήθειαν περιβεβλημένῳ. τοσούτῳ δὲ δυσχερής (εὖ γὰρ
οἶδα, καὶ αὐτὸς συνομολογήσεις) εἰλικρινοῦς φιλίας ἐπί-
τευξις, ὅσον καὶ κράτιστον τουτὶ τῶν ἄλλων ἐστὶν ἀγαθῶν
καὶ τοῦ παντὸς ὑπὸ δικαζούσῃ ἀληθείᾳ τιμώμενον.*

113r *Πῶς ἂν οὖν πρόωμαι τοσοῦτον | καλόν, τοσαύτην εὐδαι-
μονίαν, ᾗ με θεοῦ χρηστότης ἐδεξιώσατο, ἧς πολλοὶ μὲν
ἐρῶσιν, ὀλίγοις δὲ μετεῖναι χρήματος οὕτως ἀξιαγάστου;
μὴ ἐνόχλει οὖν, ὦ μακάριε πάτερ, μὴ τοσοῦτον περὶ ἡμᾶς
διατίθεσο φιλοψύχως, ὡς καὶ ζωῆς ἐπιχειρεῖν ἀφιστᾶν
εὐδαίμονος οὕτω καὶ μακαρίας. τοῦτο μόνον ἐγώ, τῶν
ὑπερτέρων ἀλογῆσαι τολμήσας προστάξεων, ὥστε μὴ ζημι-
ωθῆναι χρῆμα οὐδενὶ τῶν ὄντων ἀνταλλασσόμενον. τί δεῖ
πλείονος τῆς διατάσεως; ἴσον ἐμοὶ θεοῦ τε παραινεῖν ἀπο-
στῆναι καὶ τοῦδε τἀνδρὸς ἐπιχειρεῖν ἀποσπᾶν. τρυφή μοι
διὰ τοῦτον καὶ τὰ κολαστήρια, καὶ τοσούτῳ πλέον τοῖς
ὑπὲρ αὐτοῦ κινδύνοις ἐγκαλλωπίζομαι ὅσῳ καὶ οὗτος νῦν
διὰ Χριστὸν καὶ τὴν τούτου νόμου συντήρησιν πρὸς ὅλον*

4–5 *ἀνθρώπους* **Wk**: *αὐτοὺς* **W** || **7–8** *ἐπανατεινόμενον* **Lb**: *-νάμενον* **W** || **19** *ὑπὸ δικαζούσῃ* **Lb**: *ὑποδικαζούσηι* **W** || **22** *δὲ*] *δέ ἐστι* **Lb** || **26** post *προστάξεων*] *δέομαι* ins. **Lb** || **29** *τοῦδ'* **W** || **32** *τὴν τούτου νόμου* **Wk**: *τὴν τοῦ τούτου νόμου* **Lb**: *τὸν τούτου νόμον* **W**

μικροῦ κόσμον καὶ βασιλείαν αὐτὴν ἀντιτάσσεται. πρὸς γὰρ αὖ τοῖς ἄλλοις καὶ ἡ ἐξ ὑπογύου κατὰ τῆς ἁμαρτίας ἔνστασις τοῦ ἀνδρὸς οὕτως ἡμᾶς τῷ πρὸς αὐτὸν συνέδησεν ἔρωτι, ὡς ἄρρηκτά τε καὶ μονιμώτατα συνηνῶσθαι. ὥσπερ οὖν οὐκ ἂν ἑαυτοῦ ποτ' ἐκσταίην, οὕτως οὐκ ἂν δυναίμην ψυχῆς | οὕτω τιμίας καὶ θεοειδοῦς ἀποτέμνεσθαι, ὡς ἄλλῳ 113ᵛ *δέ τινι σύνειμι ἑαυτῷ, μᾶλλον δ' ὁ αὐτὸς εἶναι δοκῶ, μηδ' ἑνὸς οἷόν τε ὄντος διατειχίσαι τὴν οἰκειότητα, ἔστ' ἂν οὗτος μὲν δικαιοσύνης προκινδυνεύει θεοῦ, ἐμοὶ δὲ πόθος εἰσέρχηται ἀρετῆς.*

'Αλλὰ δέδοικας πάντως μή τινι τῶν τυραννεῖν ἑλομένων περιπέσωμεν χαλεπότητι; ἀλλ' οὐκ ἄν ποτε τοῦτ' ἔσται, μὴ τὴν ἀρχὴν ἐνδιδόντος ἢ οἰκονομοῦντος ᾧ καὶ τῆς κεφαλῆς ἡμῶν αἱ τρίχες ἠρίθμηνται, εἴπερ ἡ ἀλήθεια τοῦτ' ἀπεφήνατο. ὃ δὲ ἐκεῖθεν παρὰ τῆς ἄνωθεν ἀγαθότητος εἰς ἡμᾶς ἐφήκει, πῶς οὐκ ἀσπαστὸν καὶ τριπόθητον καὶ τῆς ὄντως ζωῆς τοῖς ἀσπαζομένοις παραίτιον, εἰ καὶ βραχέα πλήσσει τὴν αἴσθησιν; τίνι γὰρ ἢ τῷ πατρὶ τῆς τῶν τέκνων μελήσει παιδεύσεως; ὃς παίσει μὲν ἴσως, ἰάσεται δέ, μέτρον ἐπιτιθεὶς τῇ παιδείᾳ, κατὰ τὴν ἡμετέραν πάντως ἰσχύν, ἀλλ' οὐχ ὑπὲρ ὃ δυνάμεθα τῆς μάστιγος ἐπιβαλλομένης· ὃς ποιήσει σὺν τῷ πειρασμῷ καὶ τὴν ἔκβασιν.

13–15 Mt. 10, 30 || **19** Iob 5, 18 || **21–22** 1Cor. 10, 13

2 *ὑπογύου* Wk (*-υί-* Lb): *ὑπογείου* **W** || **9** *προκινδυνεύει*] *-η* Lb

87

114r ## ᾿Αρέθᾳ πρωτοθρόνῳ

Miserat Nicetas Arethae mures marinos; cui responderat Arethas tale donum velut pectinem calvo esse, simul in pectines marinos suamque calvitiem iocans, simul insinuans ascetae cum talibus deliciis nihil rei esse. exponit ergo Nicetas in principio epistulae huius, qui sensus multo reconditior subsit dono. deinde fuse narrat de colloquio quod cum patriarcha praesente propinquo suo Paulo abbate in festo Nativitatis Domini (a. 906) vespere habuerat, quibusque illecebris, quibus minis sibi persuadere conati sint ut Arethae partes desereret aut patriarchis Orientis se adiungeret ad animum ipsius flectendum; quos omnes impetus se divino auxilio sustentatum reppulisse victoremque abisse.

Οὐ φαλακρῷ κτείς, ὡς ἔφης, θαυμασιώτατε, ἀλλ' οὐδ' ἦρος, τοῦτο δὴ τὸ τοῦ λόγου, σταφυλὴ τὸ δῶρον, εἰ δὲ μὴ θρασὺ φάναι, κυβερνήτῃ πηδάλιον, καὶ ταῦτα χειμῶνος ὥρᾳ· οὐχ ὡς ἀποροῦντι (τίνι γὰρ ἄλλῳ προσείη;) ἀλλ' ἵν' ἢ τοῖς οὖσι προσκέοιτο ἢ τὸ πρόθυμον ἐπιτείνειε τῷ χρωμένῳ τῇ ὑπομνήσει, εἴπερ ἄρα καὶ δέοιτο τὸ ἄκρως ἐντεταμένον. τίς δὲ ὁ λόγος; οὔτε γὰρ τῶν ὀψοφάγων ὑπειληφότες τινὰ τούτοις σε δεξιούμεθα (πῶς γάρ; ᾧ γε κατὰ τοσοῦτον ὀλιγαρκίας καὶ διαίτης μέλον λιτότητος, ἐν ἅπαντι μέν, οὐχ ὅπως ἐν τοιούτῳ καιρῷ, καθ' ὅσον οὐδὲ τῶν ἐναντίων τοῖς ἀνδραπόδοις τῆς ἡδονῆς) οὔθ' ὅλως πρὸς γαστρὸς θεραπείαν ἀποβλέπει τὸ δῶρον, ἀλλ' ἐπεί σοι τὸν ἀγῶνα δεινόν τε καὶ ἄμαχον συγκεκροτῆσθαι, χειμῶνι γὰρ προσ-

2 CPG I 459; II 50 || 4 cf. CPG I 460; II 50

87 W – Lb[1] pp. 301–306 || 9 *τούτοις* Wk: *πύτοις* **W || 10** *μέλον* Lb: *μέλλον* **W**

παλαίειν κύμασι καὶ σπιλάσιν ἀγρίοις τραχυνομένῳ καὶ ταῖς ἁπανταχόθεν συρροίαις τῶν προσβολῶν ἐπικλύσειν μορμολυττομένῳ, λόγῳ μὲν οὐκ οἴεσθαι δεῖν | ἐπιστηριεῖν 114v *ἀθλητήν (τίς γὰρ ἂν καὶ εἴη ᾧ μὴ πρὸ πολλοῦ περιπέφρακτο;) συμβολικοῖς δὲ δώροις· τάχα μὲν περιττῶς καὶ ταύτῃ· πλὴν ἔδοξε μύειν μὲν παρακαλεῖν διὰ τῶν μυῶν τὰς αἰσθήσεις, μηδενὶ τῶν συμπνιξόντων παρείσδυσιν ἐνδιδόντα, μηδὲ τροφὴν ἐθελῆσαι γενέσθαι τοῖς ἐπιβούλοις, οἷς ἔργον λιθιδίοις ὑποκλέπτειν τοὺς ἀφυλάκτους, ἐρριζῶσθαι δ' ἀσφαλῶς ἄγαν καὶ προσπεφυκέναι τῇ πέτρᾳ τὸν τῆς ἀληθείας ὑποτρέφοντα μαργαρίτην τῷ βασιλεῖ καὶ μηδενὶ παρασυρόμενον ῥεύματι. ταύτην μὲν οὖν ἡ τῶν μυῶν δεξίωσις ὑποβάλλει τὴν χρείαν· αὐτοὶ περικλινέσθων οἷς ἂν ὁ λαμβάνων ἐθέλοι.*

Εἶεν. ἃ δέ γε παρὰ τοῦ λημῶντος κολοκύνταις (οὐκ ἀγνοεῖς τὸν φθορέα τῆς Χριστοῦ νύμφης) μεμηχάνητό τε καθ' ἡμῶν καὶ βεβούλευτο, ἀκούοις ἄν. ἑορτὴ ἦν, ἀνάμνησις δὲ Χριστιανῶν τῆς Χριστοῦ γεννήσεως ἡ ἑορτή· ἑσπέρα δὲ ἤδη βαθεῖα, καὶ ὑπὸ δᾳδὶ ἡμᾶς μεταπέμπεται· καὶ ἐπειδὴ ἐφοίτων (οὐ γὰρ ἦν ἀντιβαίνειν χειρὶ τοσαύτῃ), τὰ πρῶτα μὲν ὑπεξανίστατό τε καὶ πλέον ἢ ἔδει μετεδίδου τῆς | δεξιώσεως. ἦν δέ οἱ τῆς πείρας συλλήπτωρ καὶ 115r *{θεῖος} ὁ θεῖος, οἴμοι. πλὴν παρατίθεται τράπεζα· παράκλησις ἐπὶ τούτοις μεταλαγχάνειν τῶν ἐδωδίμων. ἐπεὶ δ' ἀνηνύτοις ἐπεχείρουν μήτε βρωτοῖς μηδ' αὖ γε ποτοῖς συνόλως ἡμῶν ὀρεγόντων χεῖρα, καὶ ταῦτα συχνῶς ἐκείνων δεξιουμένων, λύεται ἐπὶ τούτοις ὁ δεῖπνος, ἄρχεται ὁ ἀγών. καὶ πρῶτον μὲν ἐνεκάλει τὴν ὑπεροψίαν, εἶτα δὲ τῆς παλαιᾶς φιλίας ὀλιγωρίαν τό τ' ἀπρόϊτον αὐτῶν καὶ ἀπρόσιτον ἄμικτόν τε καὶ ἀκοινώνητον ὡς μέγα τι κακὸν ἐμοὶ προσωνείδιζεν, ἐφ' οἷς καὶ θεωθῆναι κατειρωνεύετο.*

15 Aristoph., Nub. 327 || **31** cf. Vita Euthymii 16, pp. 110, 35–112, 4 Kh

21 *μὲν* Lb: *μῶς* **W** (an leg. *μὲν εὐμενῶς*?) || **22** *δέ οἱ* Lb: *δέοι* **W** || **23** *θεῖος*[1] del. Wk: *βοηθὸς* Lb || **30** *κακὸν* Lb: *κοινὸν* **W**

ἐγὼ δὲ τοῦθ' οὕτως ἔχειν ὑπεκρινάμην· 'οὐ γὰρ θεωθῆναι, σοφώτατε, ταπεινωθῆναι δ' ἡμῖν τῇ πρὸς τὸ ὑπερέχον ἑαυτῶν ἐξεγένετο παραθέσει, ἀπιδοῦσι μὲν τῷ τῆς ὑμετέρας ὕψει σοφίας συνέσεώς τε καὶ τῆς ἄλλης μεγαλονοίας, οἷς καὶ τοσαύτης ἀρχῆς κατεδράξω καὶ τῶν παρὰ βασιλεῦσι τιμῶν ἀπηνέγκω τὸ κράτιστον, ἀπιδοῦσι δὲ τῷ βάθει τῆς οἰκείας οὐδενείας καὶ ἀμαθίας. καὶ ἐπεὶ μὴ οἷόν τ' ἦν μηδενὶ συνεξισοῦσθαι τῷ πάντα προέχοντι, ἐλέγχεσθαι δὲ μᾶλλον τῇ πρὸς τοῦτο τὸ χεῖρον 115v *ἀντεξετάσει καὶ | καταισχύνεσθαι, καὶ διὰ ταῦτά μοι δοκεῖ δεῖν ἑαυτοῦ γενέσθαι πρὸς μόνον ἐπιστρεφόμενον ἑαυτόν, τῆς δ' οἰκείας συναισθόμενον ἀσθενείας μηκέτι προπετῶς ἑαυτὸν εἰς προσθήκην αἰσχύνης παραπλέκειν τοῖς κρείττοσιν, ἑλῶ τοιγαροῦν τὴν κατ' ἐμαυτόν, ὡς ἡ παροιμία διακελεύεται, ἑαυτοῦ τε καθιστάμενος ἐπιγνώμων καὶ τοῖς κατ' ἐμὲ συμφερόμενος'. ἐπεὶ δέ με τούτοις ἔγνω πρὸς εἰρωνείαν ἀπολελογῆσθαι, ὀργὴν τὸ ἐντεῦθεν ὑπερήφανος ἀνέφλεγε λογισμός, ὀργὴ δὲ ⟨καὶ⟩ πικρία πικρῶς ἀναζέσαντα τοσαύτην ἡμῶν ἐδόκει τὴν ὕβριν καταχεῖν, ὥστε με μυρίας ὑποπιμπλάμενον ἔνδον τῆς εὐφροσύνης μακρὰ μακαρίζειν ἑαυτὸν τοιαύτης ἐντεύξεως, ὅτι μοι τοσούτων εὐτυχεῖν ἐξεγένετο τῶν καλῶν· καλὰ γὰρ ἐμοὶ καὶ καλῶν κάλλιστα ὕβρεις, αἰκίαι, πληγαί, προπηλακισμοί, αὐτοὶ θάνατοι, καὶ οἱ βιαιότατοι, μόνον ὑπὲρ ἀρετῆς προσαγόμενοι.*

Ἐπεὶ δέ ποτε σχολάσαι τῶν τοιούτων ἀνάγκη, ἄλλο προτείνεται θήρατρον. ἔφη γὰρ αὐτοῦ τοῦτο δὶς τοῦ κρατοῦντος 116r *ἀκοῦσαι, 'ὅτι σύ'* (*πρὸς ἐμὲ λέγων*) | *'τὴν ἀμείλικτον τοῦ Καισαρείας ὑποχαλῶσαν ἤδη γνώμην πρὸς σταθερότητα περιέτρεψας'· βουλῆς τ' εἶναί φησιν ὅσον οὔπω συλλαβεῖν τε καὶ αἰκίσασθαι κακούργων τρόπον καὶ*

14–15 CPG I 314 adn.; II 217

1 *οὕτως* Lb: *οὕτοις* **W** || **5** *παρὰ* Lb: *περὶ* **W** || **8** *συνεξισοῦσθαι* Lb: *συνεξιοῦσθαι* **W** || **8–9** *προέχοντι* Lb: *προσέχοντι* **W** || **10** *καί*[2]] del.? || **18** *καὶ* Lb: om. **W** || **19** *καταχεῖν* Wk: *κατέχειν* **W**

προσέτι ζημιοῦν φυγαδείᾳ ὡς βασιλεῦσιν ἀντίπαλον. ἐμοῦ δὲ αὐτῷ μηδὲν ἐπίστασθαι ἀπολογουμένου (‘οὐ γὰρ διδάξων, μαθησόμενος δὲ παρ’ αὐτὸν ἐφοίτων ἀεί· τίς γὰρ ἂν καὶ εἴην ἔγωγε πρεσβύτην χρόνῳ συνέσει τε καὶ σοφίᾳ, πρὸς δὲ καὶ ἀρχιερωσύνῃ συγκεκροτημένον τῆς δεδογμένης μεταρρυθμίζειν γνώμης;’ ἑτοίμως δ’ ἔχειν ἀδικεῖσθαι καὶ τὰς ἐσχάτας ὑπέχειν ζημίας, ‘εἴπερ ὑμῖν δοκεῖ, μᾶλλον δ’ εἴπερ τὸ ἐνδόσιμον ἄνωθεν, ὅθεν ἤρτηται τὰ ἡμέτερα, προσευπορoίητε’), ἐκεῖνος αὖθις τὸ δέλεαρ ἐξηκόντιζε, τὸ μὲν ἐπηρτημένον διακρούσασθαι μέλλειν κακόν, τιμῆς δὲ ⟨καὶ⟩ δόξης οὐ τῆς φαυλοτάτης κατευμεγεθεῖν (‘τοῖς ἀφ’ ἡλίου ἀνατολῶν ἰοῦσι συνέργασαι πατριάρχαις εἰς πειθὼ τῆς ἀτέγκτου γνώμης καὶ ἀτεράμονος’, περὶ σοῦ τοῦτο γὰρ παρεγγυῶν), καὶ προσετίθη τὰς | [116v] ψυχρὰς αὐτοῦ καὶ καταπτύστους ὡς μέγα τι λέγων εὐεργεσίας, ἀσηκρῆτις τε γίνεσθαι καὶ σπαθοφόροις ἐγκαταλέγεσθαι τέως, ἆθλον δηλαδὴ τῆς εὐσεβείας ἀποφερομένους. ἐμοῦ δὲ καὶ πρὸς ταῦτα ‘χάριεν λέγεις’ εἰπόντος, ‘εἰ πατριαρχῶν μὲν ὑπερόψεται τηλικούτων, ἐπικλιθείη δ’ ἐμοὶ καὶ ταῖς ἐμαῖς εἰσηγήσεσι· πῶς γὰρ ἔχοι τουτὶ λόγον τινά; ἀμήχανα δέ μοι καὶ ἄλλως τὰ ⟨τῆς⟩ ἐπιχειρήσεως φαίνεται· οὔτε γὰρ φιλίᾳ παραγαγεῖν ἔνι (πῶς γάρ, οἵ γε τοῖς ἐσχάτοις τῶν ὁμιλητῶν αὐτῷ κατειλέγμεθα; ἰσότης δέ, οἶσθα καὶ αὐτός, ἡ φιλία καὶ ἴσαις κρατύνεται διαθέσεσιν) ἀλλ’ οὔτε δικαιολογίαις μαλάσσειν, ἡμῖν γὰρ ἡ τούτων ἀνεῖται μελέτη τε καὶ φροντίς. παντοίως οὖν μοι δοκῶ διαμαρτήσεσθαι τοῦ σκοποῦ, φείδομαι δὲ μήποτε τοσοῦτον προσβαλὼν δράσω ὅσον τὸ Πέτρου παθεῖν τοῦ κορυφαίου τῶν μαθητῶν, ἐπιτιμῶντος τῷ διδασκάλῳ τῆς πρὸς τὸ πάθος ὁρμῆς. εἰ δ’ ἄρα τι καὶ πλέον ἀνύτειν ἠλπίζετο, πῶς ἄν τις εἰδείη μὴ ταῖς τοιαύταις ἐπιχειρήσεσι θεομαχῶν καὶ θεοῦ | [117r] διαταγαῖς ἀντικαθιστάμενος; ἔστ’ ἂν οὖν ὑπόνοιά τις ἡμῖν

23–24 CPG I 365; II 35 || **28–29** Mt. 16, 22–23 || **31** cf. Act. 5, 39

10 *μέλλειν* Lb: *μέλει* W || **11** *καὶ* Lb: om. W || **14** *προσετίθη*] *-ει* Lb || **21** *τῆς* Lb: om. W || **25** *μαλάσσειν* Wk: *-ει* W

ὑπεισίῃ τοιαύτη, οὔποτε τούτοις συγκαταθοίμεθα. ἐμοὶ γὰρ οὐ πάνυ τι δῆλον', ἔφην, 'πόρρω τῆς ἱερᾶς καθισταμένῳ κιγκλίδος καὶ τῶν ἀψαυστουμένων ἐκτὸς ἐπιγνώμονί τε τῆς ἑαυτοῦ ταπεινότητος· ὑμῖν δὲ πνευματικοῖς οὖσι συγκρίνειν πνευματικὰ καὶ τηλικούτων ἔχεσθαι μεμελέτηται σπουδασμάτων, πάντως εἰδόσιν ὡς εἰς καλὸν ὑμῖν τείνει τὸ σπούδασμα'· — πρὸς ταῦτα ἀπορουμένῳ δὴ ὁ σοφὸς ἐῴκει. ὅθεν εὐλόγοις τισὶν ἀντεξαγωγαῖς οὐκ ἔχων ὑπάγεσθαι, τῆς κατ' αὐτὸν τιμῆς τε καὶ δόξης συχνῶς ὑπέβαλλε τὰ δελέατα, ἐγγυώμενος ἦ μὴν αὐτῷ τῶν δεόντων μελήσειν ἄλλου τε μηδενὸς προσδεήσεσθαι. ἐγὼ δὲ 'τί δεῖ πλειόνων' ἔφην 'λόγων, ἐπὶ σοὶ τοῦ παντὸς σαλεύοντος πράγματος; πεῖσαι γὰρ δεῖ πρότερον μηδὲν ἐπίμωμον ἔχειν τὸ πρᾶγμα καὶ μακρῦνον θεοῦ ἐφ' ὃ παρακαλεῖν ἀξιοῖς, καὶ οὕτω πειράσομαι τὸν σίδηρον ἐψεῖν· ἔστ' ἂν δὲ μὴ τοῦτ' ᾖ, τὴν πενίαν ἀσπάζομαι καὶ περιπτύσσομαι ὥς
117v τι χρῆμα | πάγκαλον καὶ ὑπέρτιμον, ὃ οὐκ ἂν ἀφέλοισθε οὐδ' ἂν τοῦ πατρῴου μοι κλήρου τῆς ἀδοξίας ἐκστήσητε, θεοῦ μοι πρὸς τοῦτο συνηγοροῦντος. τί δαί μοι καὶ πατέρων', ἔλεγον, 'κηδεμονίαν ὡς θαυμαστὸν ἡλίκον προτείνετε; οὐ γὰρ τὸ προσκρούειν εἰς τὸν ἐν οὐρανοῖς καὶ πάντων ἀγαθῶν πατέρα ⟨πρὸς τὸ⟩ τοῖς κατὰ σάρκα χαρίζεσθαι θεμιτόν· τοὐναντίον μὲν οὖν τὸ τοιοῦτον ἅπαν ἐκτρέπεσθαι διδασκόμεθα συγγενές, ἵνα τῷ τῶν φώτων εἰσποιηθῶμεν πατρί'.

Ἐπεὶ δ' ὁ μὲν πειραστὴς ἐσιώπα, πολλὰ δὲ δακρύσειν καὶ κλαύσεσθαι τῇ πείρᾳ τῶν δυσχερῶν ὁ φιλόψυχος θεῖος ὑπέκρουσε, τοὺς μὲν σπείροντας ἔφην ἐν δάκρυσιν ἐν ἀγαλλιάσει συλλέγειν τὰ δράγματα, Χριστῷ δὲ τῷ ἐμῷ

4–5 1Cor. 2, 13 || **15** CPG I 345, II 641; I 430, II 185 || **21–25** Iac. 1, 17 || **28–29** Ps. 125, 5–6 || **29**–p. 173, 3 Lc. 6, 21; 24

12 *δεῖ*] *-εῖ* in ras. **W** || **16** *περιπτύσσομαι* Lb: *περιπτύζομαι* **W** || **19** *δαί*] *ε* s. l. **W** || **20–21** *προτείνετε* Lb: *-ται* **W** || **22** *ἀγαθῶν* Wk: *-ὸν* **W** | *πρὸς τὸ* Wk: om. **W**

μακαρίους εἶναι τοὺς κλαίοντας, εἰς αἰώνια γελασείοντας, ἀθλίους δὲ τοὺς εὐθηνοῦντας ὑμᾶς τοῖς παροῦσιν ὡς ἀπέχοντας ὑμῶν τὴν παράκλησιν. ἐπὶ τούτοις καὶ ἄλλων μυρίων ὅσων ἀντιλογιῶν ἑκατέρωθεν ἀντικατατεθεισῶν (τίς ἂν ἕκαστα διεξίοι;) παντοίως ὑπό γε θεῷ τοῦ ἀγῶνος συλλήπτορι τῶν | 118ʳ ἐλπίδων ἀπεβουκολήθησαν πάντοθεν ἰσχυραῖς καὶ ἀνελέγκτοις περιπίπτοντες ἀντιρρήσεσι, μάλιστα τοῦτο φυλαξαμένων ἡμῶν μήθ' ὁμόσε τοῖς τυράννοις χωρεῖν ὡς αὐθαίρετον ἐπισπάσασθαι θρασύτητι τὸ κακόν, μήτ' οὖν ἀνανδρίᾳ καὶ λόγων χαυνότητι ἐλπίδας αὐτοῖς ὑποτείνασθαι ὡς ὀχληροὺς ἑαυτοὺς εἰς τὸ ἔπειτα παρασκευάζειν. ἐντεῦθεν ὥσπερ μεταβαλλόμενοι οὑτωσὶ πράως καὶ γαληνῶς ἐπυνθάνοντο, τάχα κἂν τούτοις γνώμης ἀποπειρώμενοι τῆς ἐμῆς, τί ἂν αὐτοῖς καὶ δρᾶσαι συμβουλευοίμην· οἷς εἴ τι μέλον ὀρθῶς φρονήσειν, ἀποσχέσθαι συνεβούλευον τῶν τοιούτων. οὐδενὶ γὰρ τρόπῳ συνοίσειν τὸν κατὰ τῆς ἐκκλησίας αὐτοῖς πόλεμον διετεινόμην· ‘εἴτε γὰρ ἐπὶ τῇ πέτρᾳ τεθεμελίωται, θεομαχεῖτε προσβάλλοντες, οὐδὲν δὲ πλέον τοῦ πρὸς κέντρα λακτίζειν ὑμῖν περιγίνεται· εἴτε ψάμμον ὑποβέβληται βάσιν, αὐτὴ ὑφ' ἑαυτῆς καὶ δίχα τῶν ὑμετέρων καταπεσεῖται μηχανημάτων, τῷ χρόνῳ κατὰ μικρὸν ὑπορρεύσασα. τί δ' ὑμεῖς τὰ δυσμενῶν καὶ τῆς ἀληθείας ἐχθρῶν παλαμᾶσθε | 118ᵛ καὶ πραγματεύεσθε;’ ἐπὶ τούτοις τοῦ ἀγῶνος περαιωθέντος οἴκαδε ἐπανήειν, πλεῖστα βιασαμένων ⟨μένειν⟩ παρὰ αὐτοῖς μὴ πεισθείς. ἕκτη δ' ἦν ὥρα ἡλίου τὸν ὑπόγαιον διεξανύοντος δρόμον.

Ἕκαστον οὖν ὧν εἶπεν πρὸς ἡμᾶς ὁ λημῶν, καὶ ὁ κρατῶν τοῖς περὶ Εὐθύμιον ἐξ ὑπογύου δεδήλωκεν. ὡς μὲν

17–18 Mt. 7, 25; 16, 18 || **19** Act. 26, 14 || **20–21** Mt. 7, 26–27

4 *ἀντικατατεθεισῶν* Lb: *ἀντικαταθεισῶν* **W** || **12** *μεταβαλλόμενοι*] *-βαλό-* Lb || **15** *μέλον* Lb: *μέλλον* **W** || **25** *μένειν* add. Wk (post *αὐτοῖς* Lb): om. **W** || **26** *ὑπόγαιον*] *α* ex *ε*, ut vid., **W** || **28** *Ἕκαστον*] *-ον* in ras. **W**

αὐτοί φασι, πατριάρχαι συνέρχονται (φεῦ τοῦ γέλωτος) συγκροτήσοντες ἑταιρίστριαν, ἵνα μὴ λέγω εἰς ταὐτὸ Σαρακηνοῖς τὰ σεμνὰ Χριστιανῶν καθυβρίσοντες. ἐγὼ δὲ τεθαύμακα εἴ τινες ὅλως ἐκεῖθεν κἂν τῶν ὑπὸ χεῖρα τούτοις ὡρμήθησαν· πλὴν οἵτινες ἂν εἶεν, ἡμῖν ἀποχρήσει Παύλῳ πειθομένοις τοὺς καινὰ ἀξιοῦντας καὶ παρὰ τὴν ἐκείνου διάταξιν ἀποκληροῦν ἀναθέματι.

5–7 Gal. 1, 8

88

'Επιστολὴ Νικήτα φιλοσόφου τοῦ Παφλαγόνος 68v

Non sine acrimonia monet Arsenium abbatem, qui de peccato a Deo sive praecognito sive praedestinato mentionem iniecerat, ut suum negotium agat, a profundioribus abstineat; deinde peccati terminum non esse, igitur ne praedestinationem quidem, Areopagitam secutus exponit. ex ipsa asperitate epistulae coniectaveris non de quaestione philosophica imprimis disceptari, sed potius de eventu quodam tum maxime hominum animos movente. id Leonis quartum matrimonium fuisse nullo quidem modo apparet, etsi videmus ex iis quae disputat Nicolaus in Op. 14 (I p. 168,17–29), huius loci de termino vitae in illa controversia mentionem incidisse.

'Αβᾶ 'Αρσένιε, εἰ ἀληθῶς μοναχὸς εἶ, ὡς λέγεις, φεῦγε 69r *τοὺς ἀνθρώπους, σιώπα, ἡσύχαζε· οἶδας πρὸς τίνα καὶ τίνος ἡ φωνή. καὶ ' μὴ κοινώνει ἁμαρτίαις', ὁ μέγας ἀπόστολος παρακελεύε ταίσοι, ἀλλὰ κάθου εἰς τὸ κελλίον σου καὶ κλαῖε τὰς ἁμαρτίας σου καὶ μὴ πολυπραγμόνει τὰ ἀλλότρια μηδὲ τὰ ἄρρητα· πατέρων ἁγίων αὕτη παραίνεσις. ' χαλεπώτερα δέ σου μὴ ζήτει καὶ βαθύτερα μὴ ἐρεύνα, ἃ προσετάγη σοι, ταῦτα διανοοῦ', ἡ τοῦ θεοῦ παραγγέλλει σοι σοφία. ὅρους δὲ οὓς ἐξ ἀρχῆς ἡ δικαία τοῦ θεοῦ ἔπηξε κρίσις περὶ ἕκαστον τῶν ἐν τῷ βίῳ γεννωμένων ἢ ἀποιχομένων μὴ περιεργάζου μηδ' ἀνατρέπειν πειρῶ, τῷ μεγάλῳ πατρὶ τῶν πατέρων καὶ ἡγουμένῳ τε-*

2–8 cf. Nil., Ep. 4, 1, PG 79, 544C11–13 || **4–5** 1 Tim. 5,22 || **6–8** Bas., In illud attende tibi ipsi 5, PG 31, 209A13–14 || **8–10** Sira c. 3, 21 || **10–13** cf. Bas., Hom. quod mundanis adhaerendum non sit 12, PG 31, 561C14

88 **Z** – Loparev pp. 180–181 || **9** *ἃ* Wk (LXX): *ἀ* **Z** || **10** *οὓς* Wk: *οὖν* compendio scr. (?) **Z** || **11–12** post *γενωμένων* (sic)] *τελείων* punctis del. **Z** || **12** *ἀποιχομένων* Loparev: *-ουμένων* **Z** || **13** *ἡγουμένῳ* Wk: *-ων* **Z**.

λείῳ τῶν τελείων ἡγουμένων πειθόμενος καὶ ὑπείκων· Βασίλειος οὗτός ἐστι, περὶ οὗ ὁ ἱερὸς ἔφη θεολόγος Γρηγόριος· ‘πάντα μὲν ἐρευνᾶν, καὶ τὰ βάθη τοῦ θεοῦ, τῷ θείῳ πνεύματι μεμαρτύρηται, πάντα δὲ τούτῳ ἠρεύνηται τὰ τοῦ πνεύματος’. μὴ οὖν ἀντίλεγε τῇ ἀληθείᾳ τὰς τῶν ἀνθρώπων ἁμαρτίας κάτωθεν ἀντιτιθείς. οὐδὲ γὰρ περὶ ἁμαρτιῶν ὅρος ἐστί· μὴ γένοιτο· ἀνάθεμα τῷ οὕτως εἰπόντι ἢ λέγοντι· ἀλλ' οὐδὲ λέγει τοῦτο εὐσεβὴς καὶ νοῦν ἔχων οὐδείς. πρόγνωσις μὲν γὰρ περὶ πάντων ἁπλῶς, ὅρος δὲ οὐ περὶ πάντων, ἀλλὰ περὶ μόνων ὧν αὐτὸς ὁ θεὸς ποιεῖ κατ' εὐδοκίαν ἢ καὶ συγχωρήσει. ἡ τοίνυν ἁμαρτία καθὸ ἁμαρτία, ἔλλειψις ἢ στέρησις οὖσα καὶ ἀποτυχία τοῦ ἀγαθοῦ, οὔτε ὅρῳ ὑπόκειται οὔτε ἔργον αὐτοῦ ἐστίν· τὰ γὰρ ἔργα τοῦ θεοῦ, ἃ καὶ γνωστὰ ἀπ' αἰῶνος αὐτῷ εἶναί
69v *φησιν ὁ θεῖος ἀπόστολος, ταῦτα καὶ | προεγνωσμένα καὶ προωρισμένα καὶ ἐν τῇ βουλῇ τοῦ θεοῦ κείμενα κατὰ τοὺς ἰδίους καιρούς, οὓς αὐτὸς ἐν τῇ ἰδίᾳ σοφίᾳ προδιέταξεν ἑκάστῳ, τὴν ἔκβασιν δέχεται. συνῳδὰ τούτοις καὶ ὁ θεῖος Γρηγόριος ὁ Νυσσαεὺς ἔφη, ὅτι χρὴ τῷ θεῷ μηδὲν ἀόριστον ἐν τοῖς γεγενημένοις παρὰ αὐτοῦ νομίζειν, ἀλλ' ἑκάστου τῶν ὄντων εἶναί τι πέρας καὶ μέτρον τῇ τοῦ πεποιηκότος σοφίᾳ περιμετρούμενον. ὃ δὴ πρὸ τούτων καὶ ὁ θεῖος Δαυὶδ εὖ εἰδὼς ἐν τῷ πνεύματι καὶ παρὰ τοῦ ὁρίσαντος τὸ τῆς κατ' αὐτὸν ζωῆς μέτρον εὐχόμενος μαθεῖν, ‘γνώρισόν μοι’, λέγει, ‘κύριε, τὸ πέρας μου καὶ τὸν ἀριθμὸν τῶν ἡμερῶν μου, ἵνα γνῶ τί ὑστερῶ ἐγώ’.*

2–5 Greg. Naz., Or. 43, 65, PG 36, 584B 3–7 || **3–4** 1Cor. 2, 10 || **11–13** cf. Dionys. Areop., De div. nom. 4, 32, PG 3, 732D 3–5 || **13–15** Act. Ap. 15, 18 || **15–16** Rom. 8, 29 || **18–22** Greg. Nyss., De hom. opif. 22, PG 44, 204D11–205A2 || **22–26** Ps. 38, 5

1 *ὑπείκων* Wk: *ὑπεῖκι* **Z** || **2** *ἐστι* Wk: *ἔσται* **Z** || **4** *δὲ* Wk (Greg.): *διὰ* **Z** | *ἠρεύνηται* Wk (Greg.): *ἐρεύναται* (sic) **Z** || **6** *οὐδὲ* Wk: *οὐδὲν* **Z** || **8** *εὐσεβὴς* Loparev: *ἀσεβὴς* **Z** || **10** *ὧν* Wk: *ὃν* **Z** || **11** *ἢ* Wk: *εἰ* **Z** || **13** *ἔργον* Loparev: *-ων* **Z** || **13–14** *τὰ ... ἔργα* Wk: *τὸ ... ἔργον* **Z** || **14** *ἃ* Wk: *ἁ* **Z** | *αὐτῷ* Wk: *-ὸ* **Z** || **21** *ὄντων* Wk: *ὦντα* **Z** || **22** *περιμετρούμενον* Wk: *-ος* **Z** || **23** *παρὰ* Hansen: *περὶ* **Z**

ὅτι δὲ μεμέτρηται εἴτ' οὖν ὥρισται παρὰ θεῷ τὸ τῆς ἑκάστου ζωῆς τέλος, ὥσπερ καὶ ἡ ἀρχή, δῆλον ἐκ τῶν ἐπιφερομένων· ʽἰδοὺʼ γάρ φησι ʽπαλαιστάςʼ (ὅ ἐστιν μετρητάς) ʽἔθου τὰς ἡμέρας μουʼ. ὃ γὰρ ἐφ' ἑνὸς τοῦ Δαυίδ, τοῦτο καὶ ἐπὶ πάντων ἀνθρώπων ἐξ ἀνάγκης ἀληθὲς εἶναι συνωμολόγηται. ἁμαρτία δὲ πᾶσα ἀόριστος, διὸ καὶ ἄτακτος καὶ ἀνίδρυτος καὶ ἀτελὴς καὶ ἄσκοπος καὶ ἀκαλλής. οὕτω μὲν περὶ τούτων πιστεύειν ἐπάναγκες· εἰ δέ σοι μὴ διακρῖναι δυνατὸν ἀνὰ μέσον προγνώσεως ⟨καὶ⟩ προορισμοῦ καὶ ἀνὰ μέσον ἔργων θεοῦ καὶ ἀνθρωπίνης ἁμαρτίας, καὶ ὅπως τὸ αὐτὸ πρᾶγμα ὁρῶμεν καὶ προνοίᾳ ἄνωθεν κρείττονι, ἁμαρτίᾳ δὲ ἀνθρώπων ἢ πονηρίᾳ | . . .

3–4 Ps. 38, 6 || **6–7** Dionys. Areop., De div. nom. 4, 32, PG 3, 732D5–8

4 *ὃ* Wk: *ὁ* **Z** || **5–6** *συνομολόγειται* (sic) **Z** || **7** *ἀνίδρυτος* Wk: *ἀνύδρητος* **Z** || **8** *πιστεύειν* Wk: *-ον* **Z** || **9** *καὶ* Wk: om. **Z** || **10** *ἔργων* Wk: *-ον* **Z** || **12** *ἢ* Wk: *ἡ* (ut vid.) eras. **Z**

89

158r *Νικήτα φιλοσόφου ἤτοι τοῦ Παφλαγόνος ἐπιστολὴ Νικολάῳ στρατηγῷ περὶ τοῦ ξύλου τῆς βρώσεως*

Tractatus praecedenti non dissimilis, quo de ligno scientiae quaeritur; quod Gregorium Nazianzenum secutus contemplationem symbolice designare contendit. in fine de libris suis opportuniore tempore publici iuris faciendis loquitur.

Volumine iam absoluto hanc epistulam mihi indicavit J. Paramelle et qua est liberalitate schedas suas tradidit, ut simul cum ceteris et haec in lucem prodire posset.

Τὸ γράμμα τῆς ὑμετέρας μεγαλοπρεπείας δεξάμενος λίαν ἠγάσθην καὶ ἐπῄνεσα τὸ φιλόλογον καὶ πολυμαθές σου τῆς διανοίας, ἐθαύμασα δὲ καὶ τὸ τῆς ἐρωτήσεως μεγαλοφυὲς καὶ πᾶσαν σχεδὸν ἀνθρωπίνην δύναμιν ὑπερβαῖνον. ἐπύθου γὰρ ἡμῶν τί τὸ ξύλον ὑπῆρχεν τῆς βρώσεως καὶ τίνος χάριν αὐτὸ ἡ ἁγία ἀπέκρυψεν γραφή.

Ἴσθι δὴ οὖν, ὦ εὐσεβέστατε, ὡς πᾶσα κεκανονισμένη γραφὴ καὶ θεόπνευστος, ἅτε δὴ πνεύματι θεοῦ σοφίας ὑπηγορευμένη καὶ πρὸς ἔθνη πάντα καὶ πάντας ἀνθρώπους, Ἰουδαίους καὶ Ἕλληνας σοφούς τε καὶ ἀνοήτους ἀξίους καὶ ἀναξίους ἀπίστους τε καὶ πιστούς, ἐκδιδομένη, τινὰ μὲν τῶν θείων πραγμάτων σαφῆ λίαν καὶ εὔληπτα πρὸς πάντας ἀνθρώπους φιλανθρώπως ὑφηγεῖται, ὅσα οἶδεν

89 SAO || **1–3** *Νικήτα – βρώσεως* **S**: *Τοῦ ἐν ἁγίοις π(ατ)ρ(ὸ)ς ἡμῶν ἰω(άννου) τοῦ χρυσοστόμου πρὸς νικόλ(αον) στρατηγόν* **A**: *ἐπιστολὴ τοῦ ἁγί(ου) ἰω(άνν)ου τοῦ χρυσοστόμου· νικολάω στρατηγῶ* **O** || **5** *πολυμαθές* **AO**: *φιλομαθές* **S** || **6** *σου* **S**: om. **AO** || **7** *δύναμιν* **AO**: *διάνοιαν* **S** || **8** *ἐπύθου* **SO**: *ἐπόθου* **A** || **12** *ὑπηγορευμένη* **SA**: *ὑπαγορευομένη* **O** || **14** *ἀπίστους τε καὶ πιστοὺς* **SA**: *π. τ. κ. ἀ.* **O** || **15** *μὲν* **SA**: *δὲ* **O** || **16** *οἶδεν* Paramelle: *εἶδεν* **SA**: *εἴδη* **O**

ὠφέλιμα καὶ ἀναγκαῖα πρὸς ἀληθογνωσίαν ἁπάσαις ἐσόμενα ψυχαῖς· τινὰ δὲ τελείως ἀπέκρυψεν ὡς παντελῶς τὸν ἀνθρώπινον ὑπερβαίνοντα νοῦν καὶ μόνου τοῦ μέλλοντος αἰῶνος ὄντα κἀκεῖ τοῖς ἁγιωτάτοις τοῦ θεοῦ τέκνοις ὡς ἀξίοις ἀποκαλυφθησόμενα· ἄλλα δὲ μεταξὺ τῶν εἰρημένων ὑπάρχοντα οὔτε φανερῶς ἀπαγγέλλειν ἡ σοφία ἔκρινε 158v *δεῖν διὰ τοὺς ἀναξίους, ἵνα μὴ τὰ ἅγια τοῖς κυσὶν μηδὲ οἱ μαργαρῖται τοῖς χοίροις βαλλόμενοι τέλεον ἐξουδενῶνται καὶ ἀτιμάζωνται, οὔτε δὲ παντάπασι κατασεσίγηνται διὰ τοὺς ἀξίους, αἰνιγματωδῶς δὲ καὶ παραβολικῶς τὰ πολλὰ τῶν μυστηρίων τῶν θείων τῇ θείᾳ καὶ ἱερᾷ παραδηλοῦται γραφῇ, ὡς ἂν οἱ γνήσιοι τῆς ἀληθείας συζητηταί, μελέτῃ πολλῇ καὶ ἀσκήσει βίου καὶ λόγου τῶν θείων ἐννοιῶν ἐν μνήσει γινόμενοι, αὐτοί τε νοερῶς μυσταγωγῶνται καὶ τοῖς ἄλλοις τὰς θεουργοὺς ἐπιλάμπωσιν ἐκφαντορίας.*

Τούτων ἓν δή μοι νόει, περιφανέστατε, καὶ τὸ ξύλον τῆς γνώσεως. οὔτε γὰρ τρανῶς αὐτὸ παρέδειξεν ἡ γραφὴ διὰ τοὺς ἀμυήτους οὔτε παντελῶς κατεσίγησεν διὰ τοὺς ἱεροὺς θεολόγους, οἳ τῇ συχνῇ περὶ τὰ θεῖα τριβῇ καὶ ταῖς τῶν θεαρχικῶν λογίων ἐξερευνήσεσιν ἱκανῶς ἐγγυμνασάμενοι καὶ πρὸς ἀληθογνωσίας χωροῦντες τελειότητα οὔτε εἶδος φυτοῦ αἰσθητοῦ τοῦτο τὸ ξύλον, ὥσπερ τινὲς τῶν τὴν γνῶσιν ἀτελεστέρων ὑπετόπασαν, οὔτε δὲ τὴν πρὸς τὴν γυναῖκα γαμικὴν ὁμιλίαν καὶ κοινωνίαν ξύλον γνώσεως διαρρήδην ἐτόλμησαν εἰπεῖν· εἰσὶ γὰρ οἱ καὶ

7–8 Mt. 7, 6

3 *ὑπερβαίνοντα* **SA**: *ὑπεραίροντα* **O** | *μόνου* **AO**: *μόνον* **S** || **4** *τέκνοις* **AO**: *τεκνίοις* **S** || **5** *ἀξίοις* **SA**: *-ους* **O** || **7** *τοὺς ἀναξίους* **SO**: *τοῖς ἀναξίοις* **A** || **8** *ἐξουδενόνται* **S**: *-οῦνται* **A**: *-ῶται* **O** || **9** *καὶ ἀτιμάζονται* (sic) **S**: om. **AO** | *δὲ* **SA**: om. **O** || **10** *δὲ* **S**: *τε* **O**: om. **A** || **11** *θεία καὶ* **S**: om. **AO** | *παραδηλοῦται* **AO**: *-όνται* **S** || **14** *γινόμενοι* **S**: *γενόμενοι* **AO** | *αὐτοί τε* **SA**: *αὐτοῖς* **O** | *μυσταγογῶνται* **S**: *μυσταγωγοῦνται* **AO** || **15** *ἐπιλάμπωσιν* **SO**: *-ουσιν* **A** || **16** *ἓν* **SA**: om. **O** || **17** *τρανῶς* **SA**: *-οῖς* **O** | *αὐτὸ* **S**: *-ὼ* **A**: om. **O** || **19** *τριβῇ* **S**: *διατριβῇ* **AO** || **20** *ἐγγυμνασάμενοι* **SA**: *ἐγγεγυμνασμένοι* **O** || **22** *αἰσθητοῦ τοῦτο* **SA**: om. **O** || **23** *ἀτελεστέρων* **AO**: *ἀσθενεστέρων* **S**

τοῦτο μέχρι καὶ τήμερον βαθέως ταῖς καρδίαις ἑαυτῶν ὑπολογιζόμενοι. θειότερον δὲ καὶ τελειότερον κατὰ τὸν μέγαν Γρηγόριον θεωρίαν ἐκεῖνο ὑπονοεῖν τὸ φυτόν, ἧς τοῖς τελείοις μόνοις καὶ ψυχὴν καὶ νοῦν ἡγνισμένοις καὶ πρὸς θεοπτίαν διὰ πάσης θεοῦ ἐντολῆς ἐξησκημένοις ἐπιβαίνειν ἀσφαλὲς καὶ ἀκίνδυνον· σφαλερὸν δὲ καὶ κινδυνῶδες τοῖς νηπίοις καὶ ἀτελέσι τὸν νοῦν ἡ θεωρία τοῦ ἀθεωρήτου καὶ ὑπερουσίου, ὥσπερ καὶ τοῦ ἡλίου ἡ ὅρασις τοῖς ἀσθενικῶς πρὸς αὐτὸν ἀτενίζουσιν ὀφθαλμοῖς.

159r *Φησὶ τοίνυν ὁ ἱερὸς | τῆς δεσποτικῆς ἐντολῆς λόγος· 'ἀπὸ παντὸς ξύλου τοῦ ἐν τῷ παραδείσῳ βρώσει φάγῃ', τουτέστι 'πᾶσα τῶν ὄντων, νοητῶν φημὶ καὶ λογικῶν τε καὶ αἰσθητῶν, ἡ θεωρία καὶ γνῶσις πρόκειταί σοι εἰς ἀπόλαυσιν τῇ τε διανοίᾳ καὶ τῷ νοΐ' (καὶ γὰρ νοητὴ βρῶσις καὶ τροφὴ καὶ τρυφὴ ἀληθὴς τοῖς νόοις ἡ ἀληθογνωσία ὁμολογουμένως ἐστίν), 'ἀπὸ δὲ τοῦ ξύλου τοῦ γινώσκειν καλὸν καὶ πονηρὸν οὐ φάγεσαι ἀπ' αὐτοῦ', ὅ ἐστιν 'ἀπὸ τῆς ἀκριβοῦς περὶ θεοῦ τοῦ ὑπεραγνώστου θεωρίας καὶ γνώσεως, ἐξ ἧς τὸ ἀληθῶς καλὸν καὶ πονηρὸν τοῖς ὁδῷ καὶ τάξει διὰ τῆς τῶν ὄντων ἁπάντων γνώσεως τελειουμένοις καὶ θεουμένοις διαγινώσκεται καὶ διακρίνεται, ἀπὸ ταύτης φυλάττεσθαί σε τό γε νῦν ἔχον παρεγγυῶ, ὡς ἂν μὴ ἀκαίρως καὶ ἀναξίως εἴτ' οὖν ἀνεπιστημόνως τῶν ὑπὲρ φύσιν ἁψάμενος καὶ θεὸς εἶναι μεγαλοφρονήσας καὶ εἰκῇ φυσιωθεὶς καὶ ἀπονοηθεὶς ἀποθάνῃς τὸν ὀλέθριον*

2–3 Greg. Naz., Or. 45, 8, PG 36, 632C15–D1 || **10–11** Gen. 2, 16 || **16–17** Gen. 2, 17

3 *θεωρίαν* **SA**: *θεολογίας θεωρίαν* **O** | *ὑπονοεῖν* **SO**: *ὑπενοεῖν* **A** || **4** *ψυχὴν* **AO**: *-ή* **S** || **6** *κινδυνόδες* **S**: *-ώδεις* **A**: *-ώδης* **O** || **9** *τοῖς* **S**: om. **AO** || **11** *φάγῃ* **A**: *φάγεσαι* **O**: *φαγεῖν* **S** || **12** *ὄντων* **A**: om. **SO** | *καὶ* **S**: om. **AO** || **13** *σοι* **S**: *σου* **AO** || **14–15** *νοητὴ βρῶσις* **SA**: *β. ν.* **O** || **15** *καὶ τρυφὴ* **SA**: om. **O** || **16–17** *γινώσκειν καλὸν καὶ πονηρὸν* **S**: *γνωστοῦ καλοῦ καὶ πονηροῦ* **AO** || **19** *ἀληθῶς* **SA**: *ἀγαθὸν* **O** || **21** *θεουμένοις* **SA**: *θεωμένοις* **O** || **21–22** *ἀπὸ ταύτης* **SA**: *ἀπ' αὐτῆς* **O** || **22** *τό γε* **SA**: *τότε δὲ* **O** | *ἔχον* **S**: *-ων* **A**: *-ω* **O** || **23** *εἴτ' οὖν* **A**: *ἤτουν* **S**: *εἰτισοῦν* **O** || **25** *καὶ* — p. 181, 1 *ψυχῆς* **SA**: om. **O**

θάνατον τῆς ψυχῆς'· ὃ δὴ καὶ πέπονθεν τὴν ἐντολὴν παραβάς.

'Ερεῖς οὖν ἴσως· 'καὶ τίνος ἕνεκεν τοῦθ' οὕτω παθεῖν τὸν ἄνθρωπον συνεχώρησεν ὁ θεός; καὶ γὰρ ἐδύνατο πρὸς παράβασιν αὐθαιρέτως κινούμενον ἐπισχεῖν τῆς ὁρμῆς'. ἀλλ' αὐτεξούσιον αὐτὸν καὶ κύριον τῆς ἐπ' ἄμφω ῥοπῆς πεποιηκὼς τὴν ἀρχήν, οὐκ ἐβούλετο τὴν οἰκείαν δημιουργίαν ἀνατρέψαι καὶ βίᾳ τοῦτον κατευθῦναι πρὸς τὸ εὐθές. καὶ γὰρ εἰ μὴ εἶχεν δυνάμεως πρὸς κακίαν ἀπονεῦσαι ὁ 'Αδάμ, οὐκ ἂν ἐπαίνων ἄξιος ἦν ἀποκλίνων πρὸς ἀρετήν, ὥσπερ οὐδὲ κολάσεως εἰ μὴ κατὰ φύσιν ἐδύνατο ποιεῖν τὸ καλόν. εἰ δέ τι καὶ πλέον εἰδέναι περὶ τούτου βούλει, ἄκουε τοῦ μακαρίου Δαυὶδ ἐν πνεύματι ἁγίῳ ἐξομολογουμένου καὶ λέγοντος· 'σοὶ μόνῳ ἥμαρτον (ἀντὶ τοῦ 'ἁμαρτεῖν συνεχωρήθην') καὶ τὸ πονηρὸν ἐνώπιόν σου ποιῆσαι' οὐκ ἀνεκόπην· καὶ γὰρ οὐδ' αὐτὴ ἡ τοῦ θεοῦ συγχώρησις ἄλογος, | σφόδρα δὲ τὸ εὔλογον ἔχουσα τοῖς γε νοῦν ἔχουσι 159v *πιστεύεται. τίς οὖν ἡ αἰτία τῆς τοῦ ἁμαρτάνειν τὸν ἄνθρωπον τοῦ θεοῦ παραχωρήσεως; 'ὅπως ἂν' φησι 'δικαιωθῇς ἐν τοῖς λόγοις σου καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε', τουτέστιν 'ὅπως ἂν ἐν τῷ κρίνεσθαί σε πρός με καὶ διελέγχεσθαι σὺ μὲν δικαιωθῇς ὡς οὐδὲν ἐλλελοιπὼς τοῦ δρᾶσαι τῶν πρὸς σωτηρίαν συντεινόντων ἐμήν, καὶ νικήσῃς τὴν ἀντιλογίαν καὶ σκληροκαρδίαν μου φιμώσας καὶ ἀναπολόγητον ἀποφήνας, ἐγὼ δὲ δηλαδὴ κατανικηθεὶς καὶ ταπεινωθεὶς καὶ διὰ μετανοίας εἰλικρινοῦς ὑποπεσών σοι σωθῶ'.*

13–20 Ps. 50, 6

3 *ἴσως καὶ* **S**: om. **AO** | *τοῦθ'* **SA**: *τόθ'* **O** || **5** *ὁρμῆς* **SA**: *ὀργῆς* **O** || **7** *πεποιηκὼς* **SO**: *πεποίηκεν* **A** | *οἰκείαν* **SA**: om. **O** || **8** *ἀνατρέψαι*] des. **O** | *βίᾳ* **S**: *βίαν* **A** || **9–10** *ὁ ἀδὰμ* **S**: om. **A** || **12** *τὸ* **A**: om. **S** || **13** *μακαρίου* **S**: om. **A** | *ἁγίῳ* **S**: om. **A** || **16** *ἀνεκόπην* **S**: *ἀνἐκόπη* **A** || **17** *ἄλογος* **A**: *ἀλόγως* **S** || **20–21** *νικήσῃς ἐν τὸ κρίνεσθαι σε· τουτέστιν* **S**: *τὰ ἑξῆς* **A** || **21** *ἂν* **S**: om. **A**

APPENDIX II

Τοσαῦτά σοι πρὸς τὰ ἠρωτημένα κατ' ἐπιστολήν· ἡ δὲ τῶν ἡμετέρων βιβλίων ἔκδοσις, οὔτε καιρὸν ἔχουσα νῦν οὔτε τόπον οὔτε τοὺς ἀκροωμένους μετὰ συνέσεως, πρὸς τὸν ἴδιον καιρὸν ⟨καὶ⟩ τὴν βασιλίδα τῶν πόλεων καὶ πρὸς τοὺς ἐπ' αὐτῆς πνευματικοὺς καὶ σοφοὺς ἀφορᾷ.

1 *ἐπιστολήν*] des. **A** || **4** *καί*[1] Wk: om. **S**

INDICES

INDEX AVCTORVM

Asteriscis (*) notantur loci Nicetae, Nicolai, Stephani, Thomae

INDEX AVCTORVM

INDEX AVCTORVM

INDEX AVCTORVM

Sacra Scriptura

INDEX AVCTORVM

INDEX AVCTORVM

INDEX AVCTORVM

INDEX AVCTORVM

PROVERBIA ET LOCVTIONES

INDEX PROVERBIORVM

INDEX PROVERBIORVM

INDEX NOMINVM

INDEX NOMINVM

INDEX NOMINVM

INDEX VERBORVM

INDEX GRAMMATICVS

Morphologia

Substantiva

Adiectiva

INDEX GRAMMATICVS

Adverbia

Formatio. ἀξιοχρέως I 87. 29; δυσέρως II 44. 7.
Comparatio. κανονικωτέρως II 128. 21; ἀγνωμονεστάτως I 251. 9; ἀσυμπαθεστάτως I 280. 1; ἀφρονεστάτως II 129. 16; ἐμφανεστάτως I 270. 14; αἰσχίστως I 322. 27.

Numeralia

Declinatio. δύο (gen.) I 49. 21, 30; 51. 9; 166. 7; δυοῖν (gen.) I 99. 20; 134. 3; 292. 6; 323. 8; 326. 25; δυσίν I 100. 19; 130. 23; 139. 12; 150. 7; 166. 5; 172. 20; 254. 14; 263. 2.

Coniugatio

Augmentum. νενόμιστο I 16. 6; 20. 4; II 2. 8; κεκένωτο I 16. 8; ὑπολέλειπτο I 18. 14 (sed περιελέλειπτο I 52. 28); προτεθύμητο I 33. 32; πεποίητο I 72. 24; πεποιήκειν I 316. 26; συντέτριπτο I 91. 19; συντετυχήκεσαν I 208. 11; ὑπενδεδώκει I 284. 6; συγκέχυτο I 338. 23; τεθέωτο I 344. 10; 360. 29; τετίμητο II 49. 3; μεμέλητο II *156. 1; προκεχωρήκει II *156. 29; περιπέφρακτο II *169. 4; μεμηχάνητο II *169. 16; βεβούλευτο II *169. 17. — ἐπαροινοῦντο I 90. 4; ἀντεκατέστη II *158. 16 app. — ἠφωρίσθαι I 131. 14; ἠφωρισμένα I 281. 7; -ον I 291. 24; ἠφίει I 354. 19; κατηνάλωσαν II 25. 24; ἠμπόληκα II 50. 21. — κατηνύγησαν I 86. 16 app.; παρηνόμησεν I 258. 30. — ἠδυνήθητε II *119. 18. — εἱλκωμένον II 102. 16. — v. et infra ὁρᾶν, ὠθεῖν.
Reduplicatio. ἐκθέσπισται I 269. 28 app. — διήλεγκται I 12. 3; ἐξωλέκασι II 70. 30. — v. et infra διακονεῖν.
Coniunctivus futuri. ἀποδραμῆται I 42. 23; προσθήσωμεν I 85. 16; ἕξωμεν I 217. 18; διοίσῃ I 225. 25; 349. 12; ἀποίσω II 23. 11; ἐποίσωμεν I 268. 3; προάξωμεν I 275. 8; ὑπαναγνώσωνται II 73. 21; ἐρῶ I 303. 3; ἐρῇ II 100. 6.
Verbum auxiliare. ἔχειν c. inf. aor. = fut.: σταυρωθῆναι ἔχει ... ἀναστῆναι ἔχει I 234. 27—28; εἰπεῖν ἔχεις I 236. 6; τελείως ἔχετε ἀφανισθῆναι I 243. 18; τῆς ὁμοίας ἔχουσιν ἀξιωθῆναι δόξης I 245. 2—3; fort. et ἄρα ... τις ... εἰπεῖν ἔχει I 241. 29 (sed τί εἰπεῖν ἔχετε; 'potestis' I 243. 10—11).
Verba contracta. συμπαραθέει I 136. 2; ἐκχέειν I 167. 21; ἀποξέειν II 53. 30. — ἀξιώῃ I 324. 16; II 74. 19; ἀξιώητε II 81. 32.
Verba liquida. ἀνακαθάρας sim. I 20. 26; 61. 19; 73. 30; 210. 31; 262. 9; II 70. 8; 75. 7. — formae mixtae: opt. praes./aor. προσνείμοις I 135. 29; II 88. 30; συνάροιντο II 61. 2; μιάνοι II 89. 20; indic. fut./coni. aor. καταμαράνομεν I 219. 28; ὑποστείλεται I 347. 4; imperf./aor. ὕφηνον II 137. 13.

Verba muta. σωφρονίσει I 6. 1; ἀποσκυβαλίσομεν I 145. 7; ἐκπορίσεται I 202. 3; μερίσεται I 212. 6; χρηματίσουσιν I 247. 27; καθυβρίσοντες II *174. 3.
ἀγγέλλειν: ἀπηγγέλη II 51. 10; διαγγελήσονται II 79. 26.
ἁλίσκεσθαι: ἁλῴητε I 248. 10.
ἁμαρτάνειν: ἁμαρτήσαντα I 244. 16; ἁμαρτήσασιν I 280. 19; ἐξαμαρτήσῃς I 320. 21.
βαίνειν: παραβαθέντα I *155. 32.
δεδοικέναι: ἐδεδίει II 15. 20; 28. 13.
διακονεῖν: διακεκονημένῳ I 220. 7; δεδιηκονημένων II 126. 31.
δύεσθαι: παρεισδύσῃ I 262. 24; ἀναδυείς I 283. 11.
εἰδέναι: οἶδας II *175. 3; οἴδασι II 62. 18; εἰδοίημεν I 57. 6; εἰδοίητε I 56. 29; εἰδοῖεν I 351. 14; εἰδῆσαι I 276. 16; II 59. 14.
εἰπεῖν: ἀπειπάμην I 68. 1; εἰπάτωσαν I *158. 18; κατείπειε II *153. 9.
ἕλκειν: ἑλκυσόντων I 213. 14 (ut συνανελκύειν I 127. 14; sed ἕλξειν I 210. 16).
ἐπιλανθάνεσθαι: ἐπιλησθησομένη I 218. 22.
ἐρεῖν: praes. I 18. 7; 111. 25; 193. 13; 202. 31; 211. 3; etc.; προσερεῖν I 225. 20.
ἐρεύγεσθαι: ἀπερρεύξατο I 154. 20 (sed ἐξηρεύξατο I 209. 32).
ἔρχεσθαι: ὑπεισήρχοντο II 14. 13.
ἔχειν: ἐνισχημένος I 253. 22; II 110. 14.
ἥκειν: ἧκεν = praes. II *163. 1; *164. 6; καθῆκεν II *160. 18.
ἰέναι: συνίοντος I 63. 4; προσήκατο II 20. 25.
καθῆσθαι: κάθου II *175. 5.
καλεῖν: ἀνακαλέσει I 5. 19; sim. I 6. 6; 10. 6; 192. 18; II 70. 13; 88. 1; 103. 24.
κτείνειν: ἀποκτέννοντος I 40. 27.
λείπειν: παραλείψας II *120. 24; ἐκλελοίποιτο I 134. 14.
ὀλισθάνειν: ὀλισθῆσαι I 138. 30; ὀλισθήσαντι II 87. 28.
ὁρᾶν: ἴδομεν I 206. 12; ὑπείδωμαι I 249. 23; ὑπείδοιντο II 74. 23; ὑπειδόμενος I 81. 13.
ὀφείλειν: ὡς ὄφελον I 134. 14.
ὀφλισκάνειν: προσοφλῆσαι II 105. 6 (προσόφλειν praes. II 108. 12).
παύεσθαι: ἀναπαυτέον II 48. 9.
πείθεσθαι: πιστέον I 64. 30; 84. 18; 127. 27; 164. 10; 165. 6; 186. 11; II 100. 17.
πέτεσθαι: ἀναπτάντα II 106. 1.
ῥεῖν: ῥεῦσαι I *174. 22; συρρεύσαντα I 87. 24; ἀπορρεῦσαν I 115. 8.
σκοπεῖν: σκοπῆσαι I 171. 1.
στρέφειν: ἐπιστράφου I 239. 23.
τιθέναι: θεῖται (fut.) I 6. 5; προσεθήκατε II *118. 4; συγκαταθοίμεθα II *172. 1.
τυγχάνειν: τεύξαιο II 38. 24.
φέρειν: ἀπενεγκάμενοι sim. I 10. 10; 34. 4; 49. 18; 93. 3; etc.; ἀπηνέγκατο sim. I 23. 29; 144. 32; 148. 27; 152. 21; etc.; ἀπενέγκασθαι I 61. 1; παρενέγκαιεν I 216. 7.
φθείρειν: οὐκ ἀποφθαρῇ II 124. 27 app.
φύεσθαι: ὑπεφύη I 360. 2.

χεῖν: *διαχεθῆναι* sim. I 2. 17; 56. 22; 84. 16; 288. 29.
ὠθεῖν: (imperf.) *παρωθεῖτο* I 62. 17; *συνωθοῦμεν* I 116. 15 (sed *ἀπεωθεῖτο* I 90.7); (aor.) *ἀπωθήσατο* I 45. 20; *ἐξωθήσωσιν* I 118. 17; (aor. pass.) *ἐξώσθησαν* II 135. 24 (sed *παρεώσθησαν* I 90. 15); (perf.) *ἀπῶσθαι* I 45. 7.

SYNTAXIS

Numerus

Congruentia. *αἱ κινήσεις τε καὶ ὁρμαὶ . . . ἐκπομπευθήσεται* I 105. 11–12; *ἄμφω πᾶσιν ἐνθεωρεῖται* I 135. 31. — *ὧν . . . τυχεῖν ἡ εὐχή, τοῦτο* II 56. 13; *οἷς . . . οὐκ ἐν τῷ ποιοῦντι καθίσταται . . ., τοῦτο* II 68. 24–25.
Dualis. *ἐξ ἑνὸς τοῖν ποδοῖν* I 70. 7; *δυοῖν . . . παραπεπηγυιῶν ταύτῃ πορνείαιν* I 99. 20–21.

Casus

Nominativus pro vocativo. *λαὸς ἐμός* I 45. 29; *κλῆρος ἡγιασμένος, δῆμος ἔνθεος* I 83. 1–2; *ὦ φίλος* I 325. 13; *ὦ . . . γαυριῶν καὶ . . . κατεπαιρόμενος* II 61. 13–14.
Nominativus cum infinitivo pro accusativo. *ἀλλ' ὀψὲ ταῦτα μεταμανθάνοντας . . . καὶ ὁπηνίκα πολλοῖς ὑπάρξαι σκανδάλου παραίτιος* I 9. 13–15; *οὔτε γὰρ εἰς ἀεὶ οὔτε τὴν δύναμιν ὑπερτείνουσαι πρὸς τοῦ δικαίου ἐαθῆναι ἀγωνοθέτου* I 64. 28–30; *ὁ οὕτως τὸν ἑαυτοῦ ἔλεον . . . ἐκχέων ἄρα πίστις τῇ μὲν τὸν ἔλεον ἀφ' ἡμῶν ἕλκειν, τῇ δὲ ἀπηνῶς . . . διατιθέμενος . . . ἀσκεῖν*; I 231. 22–25; *οὐκ ἀτιμώρητοι δίκαιον ἀπολυθῆναι* I 232. 19–20.
Nominativus pro dativo in praedicato participiali. *δάκρυσιν . . . χαρᾶς . . . πρόξενον καθεστῶσιν* II 7. 12–13.
Genitivus causae. *ἀδυσωπήτως τῆς φύσεως* I 261. 20; *ἄθλιος καὶ τῆς εἰς βίον προόδου* I 303. 9.
Genitivus comparationis. *ταῖς αὐταῖς τῶν πρώην δεήσεσιν* I 43. 20–21; *κατ' ἴσον γὰρ τοῦτο τοῦ . . . δογματίζειν* I 56. 21–22; *πῶς ὅμοιος . . . ὁ Ἀδὰμ τοῦ Χριστοῦ*; I 236. 24–25; *ὁμοούσια τῶν γεννησάντων* I 237. 30; *συμφώνως . . . τῶν ἱερῶν κανόνων* I 246. 3–4; *χρόνῳ . . . τῷ ἴσῳ τοῦ πολλάκις . . . ἠτιμωκότος* II 87. 2–3; *τῶν δι' ἀρετὴν ἠδικημένων συναγαλλόμενε* I 92. 21.
Genitivus finalis (infin.). *τοῦ μὴ . . . τῖσαι δίκην* I 287. 15; *πείθει με ταῦτα τοῦ καὶ νοεῖν καὶ λογίζεσθαι* I 325. 1.
Genitivus post diversa verba. *ἀμφισβητεῖν* I 159. 25; *ἀνιέναι* 'remittere' I 206. 9; *ἀπογινώσκειν* I 68. 25; *ἀποσβέννυσθαι* II 44. 25; *ἀσχολεῖν* I 267. 7; *διαπτύειν* I 52. 6; *καταπτύειν* I 45. 32; *ἐξαπατᾶν* II 99. 23; *ἐπιχειρεῖν* I 169. 4; *κατασπαταλᾶν* I 281. 2; *παραθραύεσθαι* I 284. 7; *ὑποκλάζειν* I 59. 9; *ὑποστέλλειν ἑαυτόν* II 51. 29; *ὑποχαλᾶν* I 110. 26.

INDEX GRAMMATICVS

Adiectivum

Adverbium

Pronomen

Praepositiones

Particulae

Negationes

Verbi genera

INDEX GRAMMATICVS

Verbi tempora

Praesens pro futuro. λύεται I 239. 24.

Aoristus empiricus. I 32. 25, 26; 41. 18, 20, 22; 57. 28; 164. 32; 165. 1; 186. 14; 189. 24, 25; 191. 1, 16; 325. 19; II 7. 15; 8. 12; 123. 19.

Perfectum pro aoristo. καταπράξαντος καὶ τετελεκότος I 8. 2; 'Αμβρόσιος πῶς Οὐαλεντινιανῷ . . . κέχρηται II 17. 27–29; προκεχώρηκεν I 17. 32; ἐπεὶ . . . ἤκουσε . . . ἀπέγνωκεν παραυτίκα I 68. 24–25; ἀνεῖσθαί ποτε . . . προσέταττεν I 69. 22; κεκίνηται . . . αὖθις διωγμός I 71. 5–6; τὸν τοῦ τετάχθαι χρόνον I 300. 1–2; εὑρηκέναι βουλόμενος I 329. 16; δέδωκεν ἄρχοντα I 329. 18; (modo irreali) περιγέγονεν ἄν II 85. 19.

Perfectum pro praesenti. διακεχείρισται I 14. 4; κατεσπουδάκασι I 117. 17; ἠγνόηκας I 171. 2; πεφροντικότι I 213. 8; πεπραγματευμένους . . . ἐκβεβιασμένους I 216. 8–9; πεπίστευκα II 22. 17; ἥγηνται II 75. 30; sim. plusquamperfectum ἐκέχρητο I 173. 11; futurum exactum κεχρήσονται I 119. 2; 326. 13.

Plusquamperfectum pro perfecto. διεγνώκεσαν II *160. 28.

Verbi modi

Indicativus cum ἄν pro optativo potentiali. (praes.) οὐκ ἂν . . . παρέχετε I 54. 23–24; τί γὰρ ἂν ἄλλο . . . αἰνίττεται; I 250. 6–7; (fut.) ὡς ἄν τις ἐρεῖ I 8. 27–28; πῶς γὰρ ἂν . . . ἐξαναστήσεται; I 27. 3; οὐδεὶς ἂν . . . ἀρνήσεται I 42. 17–18; φήσει γὰρ ἂν I 218. 26; τί ἂν ἐροῦμεν; I 251. 7; οὓς οὐδεὶς ἂν . . . ὑποτιμήσεται I 263. 31; τί ἂν . . . προκομίσει; I 322. 14–15; οὐκ ἂν σὺ πάντως ἐρεῖς I 337. 3–4; τίς ἂν . . . ἀναχαιτιεῖ λόγος καὶ ὑποστείλεται; I 347. 2–4; ἐλλειπῶς ἂν οἶμαι φήσουσι I 351. 16; πῶς ἂν ἀξίως ἐρῶ; I 355. 28; ἐνδίκως ἂν ὑποβλέψομαι II 24. 17; ὡς ἂν ἴσως ἄλλος ἐρεῖ II 51. 17–18; τίς γὰρ ἂν . . . ἀνέξεται; II 103. 5; ἀλλ' οὐκ ἄν ποτε τοῦτ' ἔσται II *167. 12; (aor.) ἀναντιρρήτως γὰρ ἂν . . . κατέληξε I 35. 22–24.

Indicativus post ἄν (= ἐάν), ἐπάν etc. ἂν δὲ καταθύμιος ἔσομαι II 102. 25; ἐπὰν οὗτος . . . ἀπεῖδεν I 5. 12; ἐπὰν . . . καταλείπεις I 149. 30–32; ἐπὰν μή τι κατήπειγεν I 191. 18; ἐπὰν . . . ἠνέγκατο I 248. 11; ἐπὰν . . . τὸ μὲν ἠρεμεῖ . . ., τὸ δ' οὐκ ἀνίησι I 347. 13–15; ἐπειδὰν . . . ἀπηλλάττετο II 32. 12–13; ὁπόταν τοσοῦτον ὑπῆν πονεῖσθαι II 32. 8; ὅταν . . . τύπτῃ . . . καὶ . . . πληροῦται I 242. 19–21; ὅταν . . . βούλεται II 59. 21–23; ἔστ' ἂν . . . παρέσχεν I 289. 7–8; ἔστ' ἂν . . . προκινδυνεύει . . . εἰσέρχηται II *167. 8–10; ἕως δ' ἂν . . . ἀπόλωλε II 103. 5–6; μέχρις ἂν . . . ἐπιτρέπει I *143. 7–8; μέχρις ἂν . . . στήσεται I 170. 4–5; μέχρις μὲν ἂν . . . εὐτύχει I 219. 21–22; κἂν . . . διαστέλλεται I 37. 13; κἂν μὲν . . . κατέθετο I 54. 20–21; κἂν . . . παρακαλεῖ I 66. 16–17; κἂν . . . φησί I 149. 7; κἂν . . . εἴρητο I *151. 26–27; κἂν . . . δυστυχεῖ I 181. 11–12; κἂν μή τις ἄλλος συντίθεται

Verbalia

FIGVRAE

Constructio ad sensum

Contaminatio

ὅ τι ἂν τις ἐπινοήσειε τῶν πρὸς ἀρετὴν . . . ἐξασκούμενον (*ἐξασκούμενον* + *τῶν ἐξασκουμένων*) I 188. 20–21; *σπαράσσοντί τι . . . τῶν τοῖς πατράσιν . . . εἰρημένον* (*εἰρημένον* + *τῶν εἰρημένων*) I 208. 15–16. — *τὸ μαχόμενον ἑαυτῷ Παῦλον ἀποδεικνύντα* (*μαχόμενον* + *τὸ μάχεσθαι*) I 308. 16. — *τῶν . . . ἐκεῖθεν μονῶν τὴν ἀπόλαυσιν ἐκδεχόμενος* (*τῶν ἐκεῖ μονῶν* + *ἐκεῖθεν ἐκδεχόμενος*) II 42. 2–3. — *οὐχ ἕτερός τις ἢ Βασίλειος δὲ . . .* (*ἢ Β.* + *Β. δέ*) II 99. 31.

Ellipsis

Nominum femininorum. *γῆ* (*χώρα*): *τὴν ὑπ' οὐρανόν* I 8. 17; 17. 7; 86. 7; 92. 30; *κατὰ μέσην Εὐφράτου καὶ Τίγριδος* I 61. 9; *τῇ ταύτης . . . περιοικίδι* I 61. 12–13; 62. 22–23; *ἡ καθ' ἡμᾶς* I 62. 16; II 27. 26–27; 31. 10; *τὴν ὑπερόριον* I 62. 23; *δι' οἰκουμένης, δι' ἀοικήτου* I 71. 9; *τῆς ἐνεγκαμένης* I 72. 22; *πρὸς τὴν ἑαυτῶν* I 288. 1–2; *τὴν ἀντίπορθμον ἅπασαν* II 12. 17. — *γραμμή*: *ἐπ' εὐθείας* I 69. 18. — *ἐπιστολή*: *καὶ ταύτην καὶ τὴν πρὸ αὐτῆς ἡμῶν πρὸς ὑμᾶς καὶ τὴν ὑμετέραν* I 318. 28–29. — *ἡμέρα*: *ἡ παροῦσα* II 46. 28; *εἰς τὴν παροῦσαν* I 54. 29; 66. 13; 101. 8; 169. 24; 173. 28; 175. 10–11; 186. 7; II 95. 4–5; *οἰκείαν . . . γενέθλιον* I 59. 14; *τὴν δι' ἐπιθυμίας χαρμόσυνον* I 60. 3; *τῇ προτεραίᾳ* I 67. 5–6; 186. 3; II 114. 1–2; *τὴν εἰς τήνδε τῆς ἐκκλησίας . . . συνήθειαν* I 112. 26–27. — *θάλαττα*: *Ἐρυθρά* I 254. 2. — *κιβωτός* (*λάρναξ*): *ἡ τὰ παλαιὰ μαρτύρια περιέχουσα* II 135. 4. — *λίμνη*: *τὴν Ἀχερουσίαν* I 212. 20. — *μετάνοια*: *τῇ θερμοτέρᾳ ἢ ἑαυτὸν . . . ὑποτίθησιν* I 195. 7–8. — *μοῖρα* (*λῆξις*): *πρὸς δὲ τὴν ἀποκειμένην αὐτῷ . . . μεταφοιτῆσαι* II 113. 15. — *ναῦς*: *τῇ Ὀδυσσέως* I 297. 15. — *ὁδός*: *ἡ πρὸς τὸ τῆς θείας σοφίας ἐνδιαίτημα φέρουσα* II 14. 4–5; *τὴν ἐναντίαν τραπέσθαι* I 2. 3; *τὴν ἐναντίαν φέρεσθαι* I 308. 20; *τὴν εὐθὺ τοῦ καλοῦ τείνοντας* I 3. 13; *τὴν πρὸς τὸ αἰσιώτερον εὐθὺ τείνουσαν* I 162. 16–17; *τὴν ὡς βασιλέα τραπέσθαι τείνουσαν* II 128. 13–14; *τὴν δὲ κατὰ σαυτὸν μέτιθι* I 212. 16; *τὴν καθ' ἑαυτοὺς ἐλᾶν* II 78. 14; *ἐλῶ . . . τὴν κατ' ἐμαυτόν* II *170. 14. — *οὐσία*: *τὴν περίγειον* I 37. 2; *τὴν ὑγράν* I 87. 25; II 13. 1, 7; *πᾶσαν . . . ὑγρὰν καὶ ξηράν* I 141. 20. — *πληγή*: *εἰς τὸ πολλὰς δαρῆναι* II 99. 9. — *πόλις*: *ταύτης τῆς Κωνσταντίνου* I 86. 8; *τῆς Ἀλεξάνδρου* I 359. 17–18; *τὴν Ἀντιόχου* II 85. 9–10. — *πρόφασις*: *τὸ ἀτελὲς ὑποβαλλόμενος εἰς εὐπρόσωπον* I 353. 6 (? cf. II 5. 25; 69. 12). — *σοφία*: *σοφῷ τὴν εἰς χρήματα* (nempe *χρημάτων*) *συλλογήν* I 157. 25. — *σύνοδος*: *ἡ ἐν Χαλκηδόνι* I 51. 21. — *τροφή*: *τὴν ἀναγκαίαν ἐκπορίζει* II 3. 8. — *ψῆφος*: *τὴν νικῶσαν . . . βραβεύοντος* II 16. 5–6; *κρατεῖ ταῖς ὅλαις* II 52. 23. — *ψυχή*: *τὴν μὲν γὰρ τῶν ἄλλων μὴ σῴζων οὐδεὶς ἐγκληθήσεται, τὴν ἑαυτοῦ δὲ πικρῶς καὶ ἀνηλεῶς* I 6. 16–17; *ἡ λογική* I 343. 26; 347. 9; 348. 13; 351. 33; II 87. 1.

μένου: *συνετοῦ τινὸς καὶ ῥυθμίζειν τὸν ἄρτι θεοσέβειαν διδασκόμενον . . . λαόν* I 328. 27–28. — *ἐπιτρεπόντων*: *ἐπὶ τῶν μετὰ τὴν χειροτονίαν γαμεῖν τοὺς ἱερωμένους* I 248. 26–27. — *χρώμενος*: *πρὸς πληγὴν ὀργάνῳ τις τοῦ πέλας* I 263. 16.

Praepositionum. *εἰς*: *τοῦτο . . . ἀποτείνεται* I 31. 33. — *ἕνεκα*: *ἑνός τινος ἢ καὶ δύο ἁμαρτημάτων ἀγανακτούντων* I 7. 3–4; *ἤτοι καθαριότητος βίου* I 134. 1; *οὐ μᾶλλον τῆς ἐμπληξίας ἢ τοῦ ἀνεπερείστου ἀναβοώμενος* I 207. 18–19; *ἡμᾶς τῆς ὑπακοῆς ἀντιδεξιούμενοι* I 220. 23, cf. schol.; *ὅσον τῆς ἀπὸ τῶν νόμων εὐθύνης* I 283. 13–14; *μικρᾶς τινὸς ἀφορμῆς* II *162. 17. v. etiam s. v. Gen. causae. — *κατά*: *ἐμὴν γνώμην* I 259. 7.

Adverbiorum. *μᾶλλον*: *τὸ δὲ ἦν πρόχειρον ἐξειπεῖν ἤπερ ὑμῖν ἑτοιμότερον διακοῦσαι* I 13. 10–11; *ἑλοίμην ἂν . . . παθεῖν ἢ . . . καταπράξασθαι* I 66. 18–19; *πολλῷ τῶν φθασάντων . . . τὸ ἀπάνθρωπον ἀπελέγχουσα* I 69. 26–27; *γένοιτο γὰρ ἂν ἐμοὶ μὲν παντὸς καταθύμιον τὸ τελούμενον* I 106. 10–11 cod.; *τῆς ἀκριβείας ὑποχαλῶντες . . ., ὡς ἂν ἔχωσί τι . . . περιποιεῖν, ἢ τῷ παντὶ βιαζόμενοι τοῦ παντὸς . . . ἐκπίπτοιεν* I 110. 26–29; *καὶ τί ἂν ἄλλο . . . καταπράξαιο κεχαρισμένον*; I 171. 9–11; *εἶτα τιμᾶν ἔδει . . . ἢ . . . εἰσάγειν πρὸς κρίσιν* I 228. 28–32; *οἷς καὶ τὸ ὀλοθρευθῆναι αὐτοῖς περιγένοιτο ἢ τὸ . . . δολοφονεῖν* I 229. 13–15; *εἵλετο κακὸς ἀκοῦσαι ἢ πρᾶξαι* I 283. 3, 4; *πολλῷ δήπου οὐ βλάψει* I 343. 13. — *οὐ*: (*οὐ μόνον* = *οὐ μόνον οὐ*) *οὐ μόνον λύει τὸν γάμον, ἀλλ' ἤδη καὶ . . . δεξιοῦται* I 142. 13 cod.; *τοῦτο γὰρ οὐ μόνον βεβαιοῦντός ἐστιν, ἀλλὰ καὶ σφόδρα . . . παραγραφομένου* I 328. 1–2.

Hyperbaton

Passim, ex. gr. *καὶ τὸ ἐπὶ τῇ κόρῃ μικροῦ τὴν πίστιν ἀποδιδρᾶσκον τῷ ὑπερβάλλοντι τοῦ ἔργου θαυματουργούμενον* (= *καὶ τὸ ἐπὶ τῇ κόρῃ θαυματουργούμενον, μικροῦ . . .*) I 72. 18–19; *ὡς καὶ παιδιὰν ἀποφανθῆναι τοῖς νῦν εἰς ὠμότητα προβᾶσι τὰ τούτοις ἐπενεχθέντα παραβαλλόμενα* (= *ὡς καὶ παιδιὰν ἀποφανθῆναι τὰ τούτοις ἐπενεχθέντα παραβαλλόμενα εἰς ὠμότητα τοῖς νῦν προβᾶσι*) I 208. 11–13; *οὐκέτι μοι λόγων ἁπλῶν τῶν περὶ τὴν πρώτην θέσιν, ὡς ἂν αὐτοὶ φαῖεν οἱ περὶ ταῦτα μέλει κομψοί* (= *οὐκέτι μοι μέλει . . .*) I 325. 22–23; *εἰς ἑαυτῷ ὑφίστησιν οἰκητήριον* (= *ὑφίστησιν εἰς οἰκητήριον ἑαυτῷ*) II 20. 30; *τῇ Σίμωνος δωροδοκίᾳ οὕτω γε δὴ ἁλισκόμενοι τῆς συμπαθείας γεγόνασιν* (= *τῇ Σ. δ. ἁλισκόμενοι οὕτω γε δὴ . . .*) II 70. 28–29; *συγκρύπτοντα δὲ τῷ πάντως συνήδεσθαι* (= *συγκρύπτοντα δέ, πάντως τῷ σ.*) II 73. 16; *ὅσον καὶ τοῖς πρὸς πέτραν τῇ πέτρᾳ μὲν οἰηθεῖσι λυμήνασθαι, παθοῦσι δ' ὅπερ εἰκὸς τοῖς πρὸς πέτραν κυρίττουσιν* (= *ὅσον καὶ τοῖς πρὸς πέτραν κυρίττουσι, τῇ . . .*) II 123. 14–16. — *τῷ ἅμα τὴν πονηρὰν ἀποπλῆσαι ἐπιθυμίαν* (= *ἅμα τῷ*) I 33. 29; *ὁ τὴν εἰς ἀδελφῶν αὐτῷ συντελῶν ἀγχιστείαν* (= *ὁ εἰς τὴν . . .*) I 95. 6; *οὐδὲ γὰρ αἵρεσις τοῦτο . . . οὐδ' ὅσα τῶν ἀνηκέστως . . . τὴν κατατομὴν ἐπαγγέλλεται* (= *οὐδὲ τῶν ὅσα*) II 57. 21–23;

τετύχηκε δ' οὐ τοῦ σκοποῦ (= *οὐ τετύχηκε δέ*) II 130. 4; *οὐχ ὅτι μόνον ὁμωνύμως* (= *οὐ μόνον ὅτι ὁμωνύμως*) I 330. 7–8; *κέρδος . . . οὐχ οἷον ἐρεῖν* (= *οἷον οὐκ ἔστιν ἐρεῖν*) I 291. 14; *ἤγοντο καὶ ἐφέροντο οὐδ' ἔστιν ὅσον εἰπεῖν* (= *ὅσον οὐδ' ἔστιν εἰπεῖν*, cf. I 132. 16, vel *οὐδ' ἔστιν εἰπεῖν ὅσον*, cf. II 55. 10) I 3. 22; sim. I 15. 3–4; 45. 17–18; 65. 1; 105. 5–6; 129. 4–6; 223. 27; II 17. 15.

Oxymoron

τὰς ἀνοικονομήτως . . . προτεθειμένας οἰκονομίας I 156. 23–24; *τῇ ἀνιέρῳ τῷ ὄντι Ἱερᾷ Βίβλῳ* I 128. 11–12; *κοινὸν ἄκοινον καὶ ἰδιάζον ἀνιδιαζόμενον* I 157. 5–6; *τῆς ἀναπολόγου . . . ἀπολογίας* I 296. 4–5.

ADDENDA ET CORRIGENDA AD VOL. I

10, 14 fort. potius ⟨*μὴ*⟩ *τῷ ἐν χειρῶν* ... *νόμῳ*, cf. II p. 108, 7

27, 22 cf. Plat., Men. 98a4

40, 29 leg. *προσκείμενα*?

78, 10–11 scr. *ἢ οὐ* (*τῇ τοῦ Σταγειρίτου πρὸς ἐντροπὴν αὐτῶν χρήσασθαι λέξει*) '*ὁμωνύμως* ...'

84, 4 *θρηνῶν*] scr. *θρήνων* (ita **M**)

86, 32 leg. *εὐαγέσιν* (cf. II p. 35, 15)

95, 9 Hom. *E* 442

106, 11 restitue *παντὸς*, cf. Ind. gramm. p. 286 s. v. Ellipsis adverbiorum

117 app.: pro „121–125" lege „125–127"

122 argum., l. 4: pro „p. 143, 8–16" lege „p. 143, 10–18"

133, 11–12 scr. *ἀτοπωτάτοις*

133, 29 dist. *ἀγάμοις, ὑμῖν συνενεχθῆναι, τὸ*

141 app.: pro „4" lege „3", pro „10" lege „9"

142, 13 dele ⟨*οὐ*⟩, cf. Ind. gramm. p. 286 s. v. Ellipsis adverbiorum

157, 25 cf. p. 291,19

159 app. loc.: lege „12–13 cf. Bas. Ep. 217, can. 59, PG 32, 797B12–15"

181, 15–16 cf. Num. 11, 29

213, 15 scr. *ζυγὸν*

223, 5 dist. *χρώμενος. ἄλλως*

290, 2 scr. *Καππαδοκίας*

297, 15 scr. *Ὀδυσσέως*

300, 2–5 Sozomen., Hist. eccl. 5, 11, 7–8

345, 12 Hom. *E* 442